*τὰ τοῦ δράματοϲ πρόϲωπα· Ἀφροδίτη, Ἱππόλυτοϲ, οἰκέτηϲ, τροφόϲ, Φαίδρα, θεράπαινα, Θηϲεύϲ, ἄγγελοϲ, Ἄρτεμιϲ, χορόϲ.*

31–2 ἀφ- ἄγ- ἱπ- θη- οἰ- θε- τρ- ἄρ- φα- χο- MAVCP: ἀφ- φα- ἱπ- ἄγ- οἰ- θε- τρ- ἄρ- χο- D et (add. θη- post χο-) E: ἀφ- ἱπ- ἄγ- θη- θε- οἰ- τρ- ἄρ- φα- χο- B: ἀφ- ἱπ- χο- οἰ- φα- τρ- θη- ἄγ- ἄρ- O: ἀφ- ἱπ- χο- θε- τρ- φαίδραϲ φα- ἄγ- θη- ἕτεροϲ ἄγ- ἄρ- Tr     post personarum indicem προλογίζει ἀφροδίτη E

fabula anno 428 a. C. acta



# *ΙΠΠΟΛΥΤΟϹ*

*ΑΦΡΟΔΙΤΗ*

Πολλὴ μὲν ἐν βροτοῖϲι κοὐκ ἀνώνυμοϲ
θεὰ κέκλημαι Κύπριϲ οὐρανοῦ τ' ἔϲω·
ὅϲοι τε Πόντου τερμόνων τ' Ἀτλαντικῶν
ναίουϲιν εἴϲω, φῶϲ ὁρῶντεϲ ἡλίου,
τοὺϲ μὲν ϲέβονταϲ τἀμὰ πρεϲβεύω κράτη,
ϲφάλλω δ' ὅϲοι φρονοῦϲιν εἰϲ ἡμᾶϲ μέγα.
ἔνεϲτι γὰρ δὴ κἀν θεῶν γένει τόδε·
τιμώμενοι χαίρουϲιν ἀνθρώπων ὕπο.
δείξω δὲ μύθων τῶνδ' ἀλήθειαν τάχα.
ὁ γάρ με Θηϲέωϲ παῖϲ, Ἀμαζόνοϲ τόκοϲ,
Ἱππόλυτοϲ, ἁγνοῦ Πιτθέωϲ παιδεύματα,
μόνοϲ πολιτῶν τῆϲδε γῆϲ Τροζηνίαϲ
λέγει κακίϲτην δαιμόνων πεφυκέναι·
ἀναίνεται δὲ λέκτρα κοὐ ψαύει γάμων,
Φοίβου δ' ἀδελφὴν Ἄρτεμιν, Διὸϲ κόρην,
τιμᾶι, μεγίϲτην δαιμόνων ἡγούμενοϲ,
χλωρὰν δ' ἀν' ὕλην παρθένωι ξυνὼν ἀεὶ
κυϲὶν ταχείαιϲ θῆραϲ ἐξαιρεῖ χθονόϲ,
μείζω βροτείαϲ προϲπεϲὼν ὁμιλίαϲ.
τούτοιϲι μέν νυν οὐ φθονῶ· τί γάρ με δεῖ;
ἃ δ' εἰϲ ἔμ' ἡμάρτηκε τιμωρήϲομαι

codd.: $\Pi^2$; Ω = MBOA; V; Λ = CDELP

Inscriptio ἱππόλυτοϲ MBC: εὐριπίδου ἱ- VD: (εὐ-) ἱ- ϲτεφανηφόροϲ ($\Pi^2$)AP et Tr (εὐ- P et Tr, om. A; de $\Pi^2$ incertum): εὐ- φαίδρα L: om. OE     $1^n$ ἀφ- om. MCEL (~ Tr); [$\Pi^2$]     7 θε]ωγ γενει in fine uersus $\Pi^2$ (καὶ τόδ' ἐν θε] uel τοῦτο κἀν θε] Barrett); (~ gE)     12 Τροζ- Wilamowitz: τροιζ- codd. (item 29, 373, 710, 1095, 1159, 1424)     17 παρθένων ⟨B⟩O (~ $B^c$)     18 ἐξαιρεῖ CP et $\Sigma^1$: ἐξαίρει ΩVDEL: ]αιρει $\Pi^2$     19 βροτείαιϲ D et $^1\Sigma^n$ (~ $D^2$ et $^1\Sigma^{mv}$ et gE); [$\Pi^2$]     ὁμιλίαι L (~ Tr); -ίαιϲ D (~ $D^2$); ι super αϲ $B^2$; (~ gE)     20 τούτοιϲ L et gE; [$\Pi^2$] νῦν Ω: οὖν VCD et Tr et gE: γὰρ E: γ' οὖν P: [$\Pi^2$L]

Ἱππόλυτον ἐν τῇδ' ἡμέραι· τὰ πολλὰ δὲ
πάλαι προκόψας', οὐ πόνου πολλοῦ με δεῖ.
ἐλθόντα γάρ νιν Πιτθέως ποτ' ἐκ δόμων
σεμνῶν ἐς ὄψιν καὶ τέλη μυστηρίων
Πανδίονος γῆν πατρὸς εὐγενὴς δάμαρ
ἰδοῦσα Φαίδρα καρδίαν κατέσχετο
ἔρωτι δεινῶι τοῖς ἐμοῖς βουλεύμασιν.
καὶ πρὶν μὲν ἐλθεῖν τήνδε γῆν Τροζηνίαν,
πέτραν παρ' αὐτὴν Παλλάδος, κατόψιον
γῆς τῆσδε, ναὸν Κύπριδος ἐγκαθείσατο,
ἐρῶσ' ἔρωτ' ἔκδημον, Ἱππολύτωι δ' ἔπι
τὸ λοιπὸν ὀνομάσουσιν ἱδρῦσθαι θεάν.
ἐπεὶ δὲ Θησεὺς Κεκροπίαν λείπει χθόνα
μίασμα φεύγων αἵματος Παλλαντιδῶν
καὶ τήνδε σὺν δάμαρτι ναυστολεῖ χθόνα
ἐνιαυσίαν ἔκδημον αἰνέσας φυγήν,
ἐνταῦθα δὴ στένουσα κἀκπεπληγμένη
κέντροις ἔρωτος ἡ τάλαιν' ἀπόλλυται
σιγῆι, ξύνοιδε δ' οὔτις οἰκετῶν νόσον.
ἀλλ' οὔτι ταύτηι τόνδ' ἔρωτα χρὴ πεσεῖν,
δείξω δὲ Θησεῖ πρᾶγμα κἀκφανήσεται.
καὶ τὸν μὲν ἡμῖν πολέμιον νεανίαν

codd.: Π$^{2}$; Ω = MBOA; V; Λ = CDELP

30 πέτραν DLP: -ρην ΩVCE: [Π$^{2}$] 31 ἐγκαθείσατο AL et fort. Π$^{2}$: -θίσ- MBVDEP: -θίστ- O: -θήσ- C 32 ἔκδημον BAP et Tr et $^{1}$Σ$^{n}$ et $^{i}$Σ$^{mnbv}$: ἔκδηλον MOVΔL et B$^{2}$: [Π$^{2}$] ιππολ]υτου [δ επ]ι Π$^{2}$ 33 ὀνομάσουσιν Jortin: ὠνόμαζεν codd.: [Π$^{2}$] 34 λίπε ⟨L⟩P (λίποι Tr); λεῖπε C 36 τήνδε OAΛ et B$^{2}$V$^{2}$: τῆ(ι)δε MBV et V$^{3γρ}$ et $^{1}$Σ$^{nv}$: [Π$^{2}$] 37 ἐνιαυσίαν ADLP: -αύσιον MBOVCE et $^{1}$Σ$^{n}$: [Π$^{2}$] 40 ξύνοιδε δ' Tr: σύνοιδε δ' ΩVΔ et gE: ξύνοιδεν ⟨L?⟩P: [Π$^{2}$] οὐδεὶς O⟨L⟩ (~ Tr et gE) ανθ[ρωπων Π$^{2}$ 41 ταύτη(ι) (Π$^{2}$)Λ et V$^{3γρ}$: ταύτης ΩVC χρὴ LP: δεῖ ΩVΔ: δε]ι Π$^{2}$ μολειν Π$^{2}$ 42 lectio suspecta θησεῖ δὲ δείξω V του]τοις πρα[γμα Π$^{2}$ (suppl. ed. pr.) 43 om. Π$^{2}$ νεανίαν ΩVCE: πεφυκότα LP et V$^{s}$: νεανίαν πεφυκότα D: cf. Chr. Pat. 745 τὸν μὲν γὰρ ἡμῶν δυσμενῆ βροτοκτόνον (πεφυκότα pars codd.)





κτενεῖ πατὴρ ἀραῖσιν ἃς ὁ πόντιος
ἄναξ Ποσειδῶν ὤπασεν Θησεῖ γέρας,
μηδὲν μάταιον ἐς τρὶς εὔξασθαι θεῶι·
ἡ δ' εὐκλεὴς μὲν ἀλλ' ὅμως ἀπόλλυται
Φαίδρα· τὸ γὰρ τῆσδ' οὐ προτιμήσω κακὸν
τὸ μὴ οὐ παρασχεῖν τοὺς ἐμοὺς ἐχθροὺς ἐμοὶ
δίκην τοσαύτην ὥστε μοι καλῶς ἔχειν.
ἀλλ' εἰσορῶ γὰρ τόνδε παῖδα Θησέως
στείχοντα, θήρας μόχθον ἐκλελοιπότα,
Ἱππόλυτον, ἔξω τῶνδε βήσομαι τόπων.
πολὺς δ' ἅμ' αὐτῶι προσπόλων ὀπισθόπους
κῶμος λέλακεν, Ἄρτεμιν τιμῶν θεὰν
ὕμνοισιν· οὐ γὰρ οἶδ' ἀνεωιγμένας πύλας
Ἅιδου, φάος δὲ λοίσθιον βλέπων τόδε.

ΙΠΠΟΛΥΤΟΣ

ἕπεσθ' ἄιδοντες ἕπεσθε
τὰν Διὸς οὐρανίαν
Ἄρτεμιν, ἇι μελόμεσθα.

ΙΠ. ΚΑΙ ΘΕΡΑΠΟΝΤΕΣ

πότνια πότνια σεμνοτάτα,
Ζηνὸς γένεθλον,
χαῖρε χαῖρέ μοι, ὦ κόρα
Λατοῦς Ἄρτεμι καὶ Διός,
καλλίστα πολὺ παρθένων,

codd.: Π$^{2}$(−57); Ω = MBOA; V; Λ = CDELP

44 κτ*νεῖ M (-ει- pot. qu. -α-? ~ M$^{2}$); [Π$^{2}$] 46 ἐς LP: εἰς Π$^{2}$ΩVΔ 49 τὸ] τοῦ DP et V$^{3}$; [Π$^{2}$] 50 ὥστ' ἐμοὶ LP; ωστε[μοι Π$^{2}$ 55 θεὸν LP 57 τε L; [Π$^{2}$] βλέπων τόδε MBOVCE: βλέπον τ- A: βλέπει τ- D: τόδε βλέπων LP: το]δ εισορων Π$^{2}$ 58$^{n}$ ἱπ. codd.: aut ἱπ. aut θεράποντες $^{i}$Σ$^{mnbv}$ 58 ἀείδοντες ⟨L⟩P·(~ Tr) et M$^{2}$ 60 ἄρτεμιν ἄρτεμιν LP (~Tr) 61$^{n}$ Ἱπ. καὶ Θεράποντες Barrett: χο. fere codd. (χορὸς τῶν κυνηγῶν D et B$^{2}$: cf. Σ$^{mnv}$ χορὸς νεανιῶν τῶν κυνηγῶν ἱππολύτου): Θερ- fere edd., Χο. Κυνηγῶν Murray: uide ad 1102 62 ζηνὸς LP et E$^{s}$: ζανὸς ΩVΔ et Tr 63 χαῖρε χαῖρε A: χαῖρε MBOVΛ, sed post κόρα habent alterum χαῖρε C, alterum χαῖρε μοι LP (~ Tr) 65 λ- καὶ δ- ἄ- A; λ- ἄ- παῖ δ- L (~ Tr)

ἃ μέγαν κατ' οὐρανὸν
ναίεις εὐπατέρειαν αὐ-
λάν, Ζηνὸς πολύχρυσον οἶκον.
χαῖρέ μοι, ὦ καλλίστα
καλλίστα τῶν κατ' Ὄλυμπον.

Ιπ. σοὶ τόνδε πλεκτὸν στέφανον ἐξ ἀκηράτου
λειμῶνος, ὦ δέσποινα, κοσμήσας φέρω,
ἔνθ' οὔτε ποιμὴν ἀξιοῖ φέρβειν βοτὰ
οὔτ' ἦλθέ πω σίδηρος, ἀλλ' ἀκήρατον
μέλισσα λειμῶν' ἠρινὴ διέρχεται,
Αἰδὼς δὲ ποταμίαισι κηπεύει δρόσοις,
ὅσοις διδακτὸν μηδὲν ἀλλ' ἐν τῆι φύσει
τὸ σωφρονεῖν εἴληχεν ἐς τὰ πάντ' ἀεί,
τούτοις δρέπεσθαι, τοῖς κακοῖσι δ' οὐ θέμις.
ἀλλ', ὦ φίλη δέσποινα, χρυσέας κόμης
ἀνάδημα δέξαι χειρὸς εὐσεβοῦς ἄπο.
μόνωι γάρ ἐστι τοῦτ' ἐμοὶ γέρας βροτῶν·
σοὶ καὶ ξύνειμι καὶ λόγοις ἀμείβομαι,
κλύων μὲν αὐδῆς, ὄμμα δ' οὐχ ὁρῶν τὸ σόν.
τέλος δὲ κάμψαιμ' ὥσπερ ἠρξάμην βίου.

codd.: $\Pi^2$(73–); Ω = MBOA; V; Λ = CDELP

67–8 αἳ...ναίετ' ⟨L⟩P (∼ Tr) et B$^c$ 67 μεγάλαν Weil 70$^n$ ἱπ. hic (non ad 73) VCE et Tr 71–2 ὄλυμπον O, sicut coni. Nauck: ὄ- παρθένων ἄρτεμι ΩVΛ et O$^c$: ὄ- θεῶν PvHnOx 76 οὔτ' Orio flor. 3. 3: οὐδ' codd. et Plut. mor. 1094 A: [$\Pi^2$] που Orio (∼ Plut.); [$\Pi^2$] σίδηρος OCLP et V$^s$ et Orio: σίδαρος ΩVDE et O$^c$: utrumque Plut. codd.: [$\Pi^2$] ἀκήρατος ($\Pi^2$) et A$^c$ 77 ἠρ- LP: ἐαρ- ΩVΔ et Orio: [$\Pi^2$] -ινὴ Valckenaer (cl. $\Sigma^{bv}$ ἐαρινὴν δὲ αὐτὴν εἶπεν κτλ.): -ινὸν codd. et Orio: [$\Pi^2$] 79 ἀλλ' ἐν] ἀλλὰ ⟨L⟩ (∼ Tr) et Orio; [$\Pi^2$] 80 εἴληχεν] ἔνεστιν Ba. 316 (u. ex h.l. interpolatus) (∼ Orio); [$\Pi^2$] ἐς D: εἰς $\Pi^2$ΩVΛ πάντ' ἀεί LP et Ba. 316: πάνθ' ὁμῶς A et B$^2$E$^2$: πάνθ' ὅμως MBOVCE et (-τ' ὅ-) Orio: πανθ ολως $\Pi^2$: πάντ' αἰεὶ ὅμως D 81 κακοῖσι δ'] κακοῖσιν CD (∼ C$^2$ et Orio) 84 γέρας post βροτῶν O et Chr. Pat. 2579, ante τοῦτ' C 85 λόγοις' M, -οις σ' O (∼ Orio); [$\Pi^2$] 86 αὐδῆς D⟨L⟩P et A$^s$: -δὴν ΩVCE et Tr et Orio: [$\Pi^2$] ὁρῶν $\Pi^2$OCP et L$^{1c}$ et Orio: ὁρῶ ΩVDE⟨L⟩ 87 ηὐξάμην PvHnNv et Chr. Pat. 2587 pars codd.; ]μημ $\Pi^2$





ΘΕΡΑΠΩΝ
ἄναξ, θεοὺς γὰρ δεσπότας καλεῖν χρεών,
ἆρ' ἄν τί μου δέξαιο βουλεύσαντος εὖ;
Ιπ. καὶ κάρτα γ'· ἦ γὰρ οὐ σοφοὶ φαινοίμεθ' ἄν.
Θε. οἶσθ' οὖν βροτοῖσιν ὃς καθέστηκεν νόμος;
Ιπ. οὐκ οἶδα· τοῦ δὲ καί μ' ἀνιστορεῖς πέρι;
Θε. μισεῖν τὸ σεμνὸν καὶ τὸ μὴ πᾶσιν φίλον.
Ιπ. ὀρθῶς γε· τίς δ' οὐ σεμνὸς ἀχθεινὸς βροτῶν;
Θε. ἐν δ' εὐπροσηγόροισίν ἐστί τις χάρις;
Ιπ. πλείστη γε, καὶ κέρδος γε σὺν μόχθωι βραχεῖ.
Θε. ἦ κἀν θεοῖσι ταὐτὸν ἐλπίζεις τόδε;
Ιπ. εἴπερ γε θνητοὶ θεῶν νόμοισι χρώμεθα.
Θε. πῶς οὖν σὺ σεμνὴν δαίμον' οὐ προσεννέπεις;
Ιπ. τίν'; εὐλαβοῦ δὲ μή τί σου σφαλῆι στόμα.
Θε. τήνδ' ἣ πύλαισι σαῖς ἐφέστηκεν Κύπρις.
Ιπ. πρόσωθεν αὐτὴν ἁγνὸς ὢν ἀσπάζομαι.
Θε. σεμνή γε μέντοι κἀπίσημος ἐν βροτοῖς.
Ιπ. οὐδείς μ' ἀρέσκει νυκτὶ θαυμαστὸς θεῶν.
Θε. τιμαῖσιν, ὦ παῖ, δαιμόνων χρῆσθαι χρεών.
Ιπ. ἄλλοισιν ἄλλος θεῶν τε κἀνθρώπων μέλει.
Θε. εὐδαιμονοίης, νοῦν ἔχων ὅσον σε δεῖ.
Ιπ. χωρεῖτ', ὀπαδοί, καὶ παρελθόντες δόμους
σίτων μέλεσθε· τερπνὸν ἐκ κυναγίας
τράπεζα πλήρης· καὶ καταψήχειν χρεὼν
ἵππους, ὅπως ἂν ἅρμασι ζεύξας ὕπο
βορᾶς κορεσθεὶς γυμνάσω τὰ πρόσφορα.
τὴν σὴν δὲ Κύπριν πόλλ' ἐγὼ χαίρειν λέγω.

codd.: $\Pi^2$(–106); Ω = MBOA; V; Λ = CDELP

88–114$^n$ θεράπων BAΛ (paragraphos 93–107 L): θερ- 88, οἰκέτης 91–114 MV: θερ- 88–93, nullam notam 95, οἰκ- 97–114 O: [$\Pi^2$] 96 γε alterum om. CE et gV (∼ gB); [$\Pi^2$] 99 σὺ post σεμνὴν L, om. P (∼ Suda iv. 340. 23 Adler); [$\Pi^2$] 100 σὸν AP (∼ A$^c$ et gE); [$\Pi^2$] 101 πύλησι LP (∼ Tr); [$\Pi^2$] κύπριν B$^2$A$^s$; π]ελας $\Pi^2$, fort. recte 102 ἄπωθεν Plut. mor. 778 A (∼ gV); [$\Pi^2$] 104–5 post 107 trai. Gomperz 104 ἄλλος] ἄλλως O et $^1\Sigma^n$ (∼ Eust. in Il. p. 245. 15) 105 σε δεῖ AΛ et gVgE: γε δεῖ V et E$^2$ et gB: γ' ἔδει MBO: [$\Pi^2$] 111 ἅρματι V

Θε. ἡμεῖc δέ, τοὺc νέουc γὰρ οὐ μιμητέον
φρονοῦνταc οὕτωc, ὡc πρέπει δούλοιc λέγειν
προcευξόμεcθα τοῖcι coῖc ἀγάλμαcιν,
δέcποινα Κύπρι· χρὴ δὲ cυγγνώμην ἔχειν.
εἴ τίc c' ὑφ' ἥβηc cπλάγχνον ἔντονον φέρων
μάταια βάζει, μὴ δόκει τούτου κλύειν·
cοφωτέρουc γὰρ χρὴ βροτῶν εἶναι θεούc.

ΧΟΡΟC

Ὠκεανοῦ τιc ὕδωρ cτάζουcα πέτρα λέγεται, [cτρ. α
βαπτὰν κάλπιcι πα-
γὰν ῥυτὰν προιεῖcα κρημνῶν.
τόθι μοί τιc ἦν φίλα
πορφύρεα φάρεα
ποταμίαι δρόcωι
τέγγουcα, θερμᾶc δ' ἐπὶ νῶτα πέτραc
εὐαλίου κατέβαλλ'· ὅθεν μοι
πρῶτα φάτιc ἦλθε δεcποίναc,

τειρομέναν νοcερᾶι κοίται δέμαc ἐντὸc ἔχειν [ἀντ. α
οἴκων, λεπτὰ δὲ φά-
ρη ξανθὰν κεφαλὰν cκιάζειν·

codd.: Ω = MBOA; V; Λ = CDELP

115 φρονοῦνταc LP et $B^2$ et ut uid. $^1\Sigma^{mnbv}$: -οῦντεc ΩVCE et $L^c$: -ῶντ' D 116 προcευξ- Ω et $^1\Sigma^{mnbv}$: προcευχ- VΛ et $\Sigma^n$ 117 χρή cε gV et (cum u.l. δεῖ cε) Chr. Pat. 1042 118 c' Ω̣C: δ' $L^{uv}$P (γ' $Tr^{uv}$): om. BVDE et gV et Chr. Pat. 1043 ἔντονον OVΔL et gV: εὔτ- Ω̣P et $V^{3\gamma\rho}$ et Chr. Pat. φορῶν dubitanter Barrett 119 τούτου ΩC et Tr et gV: τούτων VΛ̣ et Chr. Pat. 1044 120 δεῖ LP (~ gE) 123 κάλπη(ι)cι ⟨L⟩ (~ Tr) et $E^2$ et $^1\Sigma^n$ 123–4 παγὰν ῥυτὰν Willink (CQ n.s. 18 [1968] 37): ῥ- π- codd. 125 τόθι ⟨L?⟩ et Tr: ὅθι ΩVΛ̣ 126 φάρη Hartung 129 κατέβαλλ' Burges: -βαλλεν Δ: -βαλ' Ω: -βαλεν VLP et $C^{2uv}$ (pot. qu. -λ- C, -λλ- $C^2$) 130 πρώτα Pv: πρῶτα codd. δεcποίναc Ω̣: δέcποιναν OVΛ̣ et $B^2A^s$: δεcποινα C 131 τειρομέναν AVΛ (-ην C) et $B^2$: -μένα MBO (-ᾳ O) 132 κοίτα(ι) om. M, post ἔχειν habet O, post δεcποινα C ἔντοc VΛ̣ et $\Sigma^{mnbv}$: ἔντοcθεν ΩC 133 λεπτὰ δὲ OAVΛ et $M^2$ et $^1\Sigma^{mnbv}$ et $\Sigma^{mnbv}$: δὲ λ- ⟨M⟩B φάρη MA et $^1\Sigma^m$: φάρεα BOVΛ et $M^2$ et $^1\Sigma^{nb}$





τριτάταν δέ νιν κλύω
τάνδ' ἀβρωcίαι
cτόματοc ἁμέραν
Δάματροc ἀκτᾶc δέμαc ἁγνὸν ἴcχειν,
κρυπτῶι πάθει θανάτου θέλουcαν
κέλcαι ποτὶ τέρμα δύcτανον.

†cὺ γὰρ† ἔνθεοc, ὦ κούρα, [cτρ. β
εἴτ' ἐκ Πανὸc εἴθ' Ἑκάταc
ἢ cεμνῶν Κορυβάντων
φοιτᾷc ἢ ματρὸc ὀρείαc;
†cὺ δ'† ἀμφὶ τὰν πολύθη-
ρον Δίκτυνναν ἀμπλακίαιc
ἀνίεροc ἀθύτων πελανῶν τρύχηι;
φοιτᾶι γὰρ καὶ διὰ Λί-
μναc χέρcον θ' ὕπερ πελάγουc
δίναιc ἐν νοτίαιc ἅλμαc.

ἢ πόcιν, τὸν Ἐρεχθειδᾶν [ἀντ. β
ἀρχαγόν, τὸν εὐπατρίδαν,
ποιμαίνει τιc ἐν οἴκοιc
κρυπτᾶι κοίται λεχέων cῶν;
ἢ ναυβάταc τιc ἔπλευ-
cεν Κρήταc ἔξορμοc ἀνὴρ

codd.: Ω = MBOA; V; Λ = CDELP

136 τάνδ' ἀβρωcίαι Hartung: τάνδε κατ' ἀμβροcίου codd. (ἀμβο- C, ἀβρο- D) et gB 139 πάθει Burges: πένθει codd. et gB 140 δύcτανον BΛ̣: -την- Ω̣(V)C et gB 141 ἦ γὰρ Nauck, ἦ cύ γ' Metzger, μὴ γὰρ Fitton (Pegasus 8 [1967] 27) ὦ κούρα] φοιτᾷc $D^{\gamma\rho}$ et $^{\gamma\rho}\Sigma^{mn}$; ὦ κούρα φοιτᾶ E 144 φοιτᾷc ἢ μ- ὀ- Bothe: ἢ μ- ο- φοιτᾶc M (φοιτᾷc, incertum quo loco positum, etiam $\Sigma^{mnbv}$): ἢ μ- ο- φοιταλέου BOAVΛ (-τολ- D, -έαc E): ἢ μ- ο- φοιταλέου φοιτᾶc PvHnOx: uide etiam ad 141 ὀρείαc V: οὐρ- ΩΛ 145 ἆρ' Barrett, εἴτ' Nauck, μηδ' Fitton 146 δίκτυνναν Ω̣P et ($E^c$): -υναν OVCD(E)L 147 πελανῶν M: πελάνων BOAVΛ et $M^2$ 150 δίναιc ἐν Ω: -αιcι VΛ 151 τῶν OV 153 ποιμαίνει M⟨A⟩C(D)E et $^1\Sigma^{mnbvc}$: πημ- BOVLP et $A^cE^2$ ἐν οἴκοιc] ἔνοικοc V 155 τιc add. $L^c$, om. L 156 ἔξορμοc] -όc τιc LP (~ Tr)

λιμένα τὸν εὐξεινότατον ναύταιϲ
φήμαν πέμπων βαϲιλεί-
αι, λύπαι δ' ὑπὲρ παθέων
εὐναία δέδεται ψυχά;

φιλεῖ δὲ τᾶι δυϲτρόπωι γυναικῶν [ἐπωιδ.
ἁρμονίαι κακὰ
δύϲτανοϲ ἀμηχανία ϲυνοικεῖν
ὠδίνων τε καὶ ἀφροϲύναϲ.
δι' ἐμᾶϲ ἦιξέν ποτε νηδύοϲ ἅδ'
αὔρα· τὰν δ' εὔλοχον οὐρανίαν
τόξων μεδέουϲαν ἀύτευν
Ἄρτεμιν, καί μοι πολυζήλωτοϲ αἰεὶ
ϲὺν θεοῖϲι φοιτᾶι.

ἀλλ' ἥδε τροφὸϲ γεραιὰ πρὸ θυρῶν
τήνδε κομίζουϲ' ἔξω μελάθρων.
ϲτυγνὸν δ' ὀφρύων νέφοϲ αὐξάνεται·
τί ποτ' ἐϲτὶ μαθεῖν ἔραται ψυχή,
τί δεδήληται
δέμαϲ ἀλλόχροον βαϲιλείαϲ.

ΤΡΟΦΟϹ

ὦ κακὰ θνητῶν ϲτυγεραί τε νόϲοι·
τί ϲ' ἐγὼ δράϲω, τί δὲ μὴ δράϲω;
τόδε ϲοι φέγγοϲ, λαμπρὸϲ ὅδ' αἰθήρ,

codd.: Ω = MBOA; V; Λ = CDELP

158 φήμαν BOVΛ: -μην MAC: φάμαν Dindorf βαϲιλεία(ι) AVΛ (-ίλεια E, -ιλείᾳ E$^2$) et M$^2$B$^2$: βαϲίλειαν ⟨MB⟩O 160 εὐναία] -αίαι B; et nom. et dat. Σ$^{mnbv}$ ψυχά ΩEL et V$^2$: -άν CD et B$^s$V$^3$: -ᾶ(ι) BVP: et nom. et accus. Σ$^{mnv}$, tantum accus. Σ$^b$ 161 δυϲτρόπωι] δυϲτρόφω L (∼ Tr); utrumque $^1$Σ$^{mnbv}$ 162 κακὰ EP et Tr et (M$^2$B$^c$): κακᾶ(ι) ΩVCDL 163 ἀμηχανίαι MO 167–8 ἀύτευν ἄρτεμιν Ω: ἄρ- ἀύ- VΛ 168 αἰεὶ ΩC⟨L⟩P et L$^c$: ἀεὶ OVDE 170 γηραιὰ CE 171 τήνδ' ἐκκομίζουϲ' CP 172 post 180 trai. Wilamowitz 173 ἔραται ADL(P): ἐρᾶται VCE et M$^2$: ἐρᾶι τᾶι MBO ψυχή C et V$^2$, -χά AΛ (-χά* D), nom. Σ$^{mv}$: -χῆ V, -χᾶ(ι) MBO et E$^2$ 178 λαμπρὸϲ MA: -ρὸν BOVΛ





ἔξω δὲ δόμων ἤδη νοϲερᾶϲ
δέμνια κοίτηϲ.
δεῦρο γὰρ ἐλθεῖν πᾶν ἔποϲ ἦν ϲοι,
τάχα δ' ἐϲ θαλάμουϲ ϲπεύϲειϲ τὸ πάλιν.
ταχὺ γὰρ ϲφάλληι κοὐδενὶ χαίρειϲ,
οὐδέ ϲ' ἀρέϲκει τὸ παρόν, τὸ δ' ἀπὸν
φίλτερον ἡγῆι.
κρεῖϲϲον δὲ νοϲεῖν ἢ θεραπεύειν·
τὸ μέν ἐϲτιν ἁπλοῦν, τῶι δὲ ϲυνάπτει
λύπη τε φρενῶν χερϲίν τε πόνοϲ.
πᾶϲ δ' ὀδυνηρὸϲ βίοϲ ἀνθρώπων
κοὐκ ἔϲτι πόνων ἀνάπαυϲιϲ.
ἀλλ' ὅτι τοῦ ζῆν φίλτερον ἄλλο
ϲκότοϲ ἀμπίϲχων κρύπτει νεφέλαιϲ.
δυϲέρωτεϲ δὴ φαινόμεθ' ὄντεϲ
τοῦδ' ὅτι τοῦτο ϲτίλβει κατὰ γῆν
δι' ἀπειροϲύνην ἄλλου βιότου
κοὐκ ἀπόδειξιν τῶν ὑπὸ γαίαϲ,
μύθοιϲ δ' ἄλλωϲ φερόμεϲθα.

ΦΑΙΔΡΑ

αἴρετέ μου δέμαϲ, ὀρθοῦτε κάρα·
λέλυμαι μελέων ϲύνδεϲμα φίλων.
λάβετ' εὐπήχειϲ χεῖραϲ, πρόπολοι.

codd.: Ω = MBOA; V; Λ = CDELP

180 κοίτηϲ MA: -ταϲ BOVΛ 183 γὰρ] δὲ B (∼ gVgB) 184 οὐδέ Ω et gB: οὐδέν VΛ et gV 187 μέν] μὲν γάρ OD et gV (∼ gB) τῶι] τὸ V$^{uv}$ et M$^2$ (∼ V$^c$ et gVgB) 190 om. ELP (∼ L$^c$ et gVgBgE) 191–7 suspectos habuit Barrett, fort. recte 191 τοῦ ζῆν] τούτου Σ Ar. Ran. 1082 192 ἀμπίϲχον LP et A$^s$E$^2$ 193 δὲ ALP (∼ Tr et Plut. mor. 764 E) 194 τοῦδ' VΛ et B$^{γρ}$ et Plut. mor. 1105 B: τοῦθ' Ω: ταῦθ' B et D$^{γρ}$L$^{cγρ}$ τοῦτο] τόδε Plut. 1105 γῆν VΛ et Plut. 764, 1105: γᾶν Ω 195 ἀπειροϲύνην VΔ et Plut. 764: -ναν ΩLP 196 γαῖαν AC et B$^s$ 198 αἴρετέ MBOD et A$^c$Tr et $^1$Σ$^{mb}$ et gB: ἄρατέ VΛ et $^1$Σ$^{nv}$: *ρετέ A μοι E (∼ gB) 199 φίλων MO et (cum ϲυνδέϲμων) V$^3$: φίλαι BAVΛ: φίλα gB 200 πρόπολοι L$^c$: πρόϲπ- codd.

βαρύ μοι κεφαλῆc ἐπίκρανον ἔχειν·
ἄφελ᾽, ἀμπέτακον βόcτρυχον ὤμοιc.
*Τρ.* θάρcει, τέκνον, καὶ μὴ χαλεπῶc
μετάβαλλε δέμαc·
ῥᾶιον δὲ νόcον μετά θ᾽ ἡcυχίαc
καὶ γενναίου λήματοc οἴcειc.
μοχθεῖν δὲ βροτοῖcιν ἀνάγκη.
*Φα.* αἰαῖ·
πῶc ἂν δροcερᾶc ἀπὸ κρηνῖδοc
καθαρῶν ὑδάτων πῶμ᾽ ἀρυcαίμαν,
ὑπό τ᾽ αἰγείροιc ἔν τε κομήτηι
λειμῶνι κλιθεῖc᾽ ἀναπαυcαίμαν;
*Τρ.* ὦ παῖ, τί θροεῖc;
οὐ μὴ παρ᾽ ὄχλωι τάδε γηρύcηι,
μανίαc ἔποχον ῥίπτουcα λόγον;
*Φα.* πέμπετέ μ᾽ εἰc ὄροc· εἶμι πρὸc ὕλαν
καὶ παρὰ πεύκαc, ἵνα θηροφόνοι
cτείβουcι κύνεc
βαλιαῖc ἐλάφοιc ἐγχριμπτόμεναι.
πρὸc θεῶν· ἔραμαι κυcὶ θωΰξαι
καὶ παρὰ χαίταν ξανθὰν ῥῖψαι
Θεccαλὸν ὅρπακ᾽, ἐπίλογχον ἔχουc᾽
ἐν χειρὶ βέλοc.
*Τρ.* τί ποτ᾽, ὦ τέκνον, τάδε κηραίνειc;
τί κυνηγεcίων καὶ coὶ μελέτη;

codd.: Ω = MBOA; V; Λ = CDELP

201 *μου* LP et $^{1}\Sigma^{n}$ (~ $^{1}\Sigma^{mbv}$ et Dion. Hal. comp. 108)  *κεφαλᾶc* Dion. pars codd.  202 *ὤιμοιc* O; *ὤμοι* D et $M^{2}$ et $^{1}\Sigma^{mv}$; *οἴμοι* P; *φεῦ φεῦ* $^{\gamma\rho}\Sigma^{mv}$  208 *αἶ αἶ* (uel *αἲ αἲ*) ΩV: *ἒ ἒ* fere Λ  209 *πῶμ᾽* $M^{2}$, *πῶ** M: *πόμ᾽* BOAVΛ  *ἀρυcαίμαν* L: *-μην* ΩVΔP  211 *ἀναπαυcαίμαν* ODLP et $C^{2}$: *-μην* ΩVCE  215 *ὕλαν* OAL: *-ην* MBVΔP  218–19 inuerso ordine, cum part. sing., Plut. mor. 52 B et 959 B  218 *ἐγχριμπτ-* MBOD: *-ιπτ-* AVCEL: om. P  220 *χαίταν* ΩVLP: *-την* Δ  *ξανθὰν* L: *-θὴν* ΩVΔP  221 *ὅρπακ᾽* MBVΛ: *ὅρπηκ᾽* OA(C)  222 *χειρὶ* MBCL: *χερὶ* AVDP: *χεροῖν* OE  224 *μελέτη* AVE et $D^{2}$ (*-ῃ*) et $^{1}\Sigma^{v}$: *-έτηc* MBOΛ (*-ετῆc* L) et $V^{3}$ et $^{1}\Sigma^{nb}$ et $^{1}\Sigma^{mnbv}$





τί δὲ κρηναίων ναcμῶν ἔραcαι;
πάρα γὰρ δροcερὰ πύργοιc cυνεχὴc
κλειτύc, ὅθεν coι πῶμα γένοιτ᾽ ἄν.
*Φα.* δέcποιν᾽ ἁλίαc Ἄρτεμι Λίμναc
καὶ γυμναcίων τῶν ἱπποκρότων,
εἴθε γενοίμαν ἐν coῖc δαπέδοιc
πώλουc Ἐνετὰc δαμαλιζομένα.
*Τρ.* τί τόδ᾽ αὖ παράφρων ἔρριψαc ἔποc;
νῦν δὴ μὲν ὄροc βᾶc᾽ ἐπὶ θήραc
πόθον ἐcτέλλου, νῦν δ᾽ αὖ ψαμάθοιc
ἐπ᾽ ἀκυμάντοιc πώλων ἔραcαι.
τάδε μαντείαc ἄξια πολλῆc,
ὅcτιc cε θεῶν ἀναcειράζει
καὶ παρακόπτει φρέναc, ὦ παῖ.
*Φα.* δύcτηνοc ἐγώ, τί ποτ᾽ εἰργαcάμην;
ποῖ παρεπλάγχθην γνώμηc ἀγαθῆc;
ἐμάνην, ἔπεcον δαίμονοc ἄτηι.
φεῦ φεῦ τλήμων.
μαῖα, πάλιν μου κρύψον κεφαλήν,

codd.: $\Pi^{3}$(225–); K(243–); Ω = MBOA; V; Λ = CDELP

226 *πύργοιc* $\Pi^{3}$ΩLP et $V^{3}$ et $^{1}\Sigma^{b}$: *-γων* VΔ et $^{1}\Sigma^{n}$  227 *κλειτύc* Wackernagel: *κλιτύc* codd.: [$\Pi^{3}$]  *πῶμα* $\Pi^{3}$M: *πόμα* BOAVΛ  228 *δέcποιν᾽ ἁλίαc* ($\Pi^{3}$)OAVΔ et $B^{2}$Tr et $^{1}\Sigma^{vn}$: *-να δίαc* $MBL^{uv}P^{?}$ et $^{1}\Sigma^{b}$: *-ν᾽ ὁμαλᾶc* Hartung cl. $\Sigma^{mnbv}$ *δέcποινα τῆc ἰcοπέδου λίμνηc*  *λι]μνηc* $\Pi^{3}$  230 *γε]νοιμηṿ* $\Pi^{3}$  231 *Ἐνετὰc* Barrett: *ἐνὰταc* $\Pi^{3}$: *ἐνέταc* ΩVΛ  *δαμὰλιζομένα* $\Pi^{3}$(*-νη*)ML et $D^{2}$: *δαμαζο-* BAVΔP: *θαυμαζο-* O  232 *παράφρων* $\Pi^{3}$OVΔ et $^{1}\Sigma^{mb}$: *-φρον* MBLP et $V^{s}$: *-φρον᾽* A: *-φορον* gB  233 *δὴ μὲν* ($\Pi^{3}$)ΩΛ et $^{1}\Sigma^{nb}$ et Phot. 451 Naber et Suda iii. 488. 18–19 Adler: *μὲν δὴ* VC et $^{1}\Sigma^{mv}$: *μὲν* O  *θήραc* AΛ et $M^{2}B^{c}V^{2}$: *θῆραc* MBOV: utrumque $^{1}\Sigma^{mnbv}$: *θηραc* $\Pi^{3}$: *θήραιc* D  234 *πόθον* VΔL et $B^{2}A^{c}$ et $\Sigma^{mnbv}$ et $^{\gamma\rho}\Sigma^{mnbv}$: *πόθεν* ΩP et Phot. et (cum u.l. *πόθι*) Sud.: [$\Pi^{3}$]  *δ᾽ αὖ*] *δὲ* C et Phot. et Sud.  *ψαμμάθοιc* CEP; *ψαμάθοιcιν* (om. *ἐπ᾽*) Phot. et Sud.  235 *ἀκυμάντων* ($\Pi^{3}$)O  *πώλοιc* M⟨B⟩ et $^{1}\Sigma^{m}$ (~ $\Sigma^{mnbv}$ et $M^{2}B^{2}$)  237 *cε*] *τε* A et gE; ]ẹ $\Pi^{3}$  238 *ὦ παῖ* om. C et gE  239 *δύcτηνοc* AΔ et gE: *-ταν-* MBOVLP et $A^{c}$ et gB: [$\Pi^{3}$]  *εἰργαcάμαν* B (~ gBgE)  240 *γνώμαc* B (~ gVgBgE)  241 *ἄτηι*] *αιcη* $\Pi^{3}$ (~ gBgE)  242 *τλῆμον* MC et $A^{s}$  243 *κεφαλήν* $\Pi^{3}$VDE: *-λάν* ΩCLP: [K]

αἰδούμεθα γὰρ τὰ λελεγμένα μοι.
κρύπτε· κατ' ὅccων δάκρυ μοι βαίνει
καὶ ἐπ' αἰcχύνην ὄμμα τέτραπται.
τὸ γὰρ ὀρθοῦcθαι γνώμην ὀδυνᾶι,
τὸ δὲ μαινόμενον κακόν· ἀλλὰ κρατεῖ
μὴ γιγνώcκοντ' ἀπολέcθαι.
Τρ. κρύπτω· τὸ δ' ἐμὸν πότε δὴ θάνατοc
cῶμα καλύψει;
πολλὰ διδάcκει μ' ὁ πολὺc βίοτοc·
χρῆν γὰρ μετρίαc εἰc ἀλλήλουc
φιλίαc θνητοὺc ἀνακίρναcθαι
καὶ μὴ πρὸc ἄκρον μυελὸν ψυχῆc,
εὔλυτα δ' εἶναι cτέργηθρα φρενῶν
ἀπό τ' ὤcαcθαι καὶ ξυντεῖναι·
τὸ δ' ὑπὲρ διccῶν μίαν ὠδίνειν
ψυχὴν χαλεπὸν βάροc, ὡc κἀγὼ
τῆcδ' ὑπεραλγῶ.
βιότου δ' ἀτρεκεῖc ἐπιτηδεύcειc
φαcὶ cφάλλειν πλέον ἢ τέρπειν
τῆι θ' ὑγιείαι μᾶλλον πολεμεῖν.
οὕτω τὸ λίαν ἧccον ἐπαινῶ
τοῦ μηδὲν ἄγαν·
καὶ ξυμφήcουcι cοφοί μοι.

codd.: Π$^{3}$(–259); K; Ω = MBOA; V; Λ = CDELP

244 αιδουμα]ι Π$^{3}$; [K] 245 δάκρυ Π$^{3}$D et L$^{c}$ et $^{1}Σ^{n}$: δάκρυά ΩVΛ et $^{1}Σ^{v}$ et gV: [K] 246 κἀπ' Barrett (~ gV); κα[ K 247 γνώμαν LP (~ gV); [K] ὀδυνᾶ(ι)] -ναι Π$^{3}$; ὀδύνα (potius -νη) Musgrave (~ gV et Σ S. Ai. 265) 248 ἀλλὰ] αλλο Π$^{3}$ (~ gV); αλλ]α K 252 πολλὰ ΩV et gVgB: π- δὲ Λ et gE: [Π$^{3}$K] βίοτοc Π$^{3}$KΩVDE et gB: βίοc CLP et gVgE 253 χρὴ Plut. mor. 95 E (~ gVgBgE); [Π$^{3}$K] 253–4 μετρίαν...φιλίαν Plut. (~ gVgBgE); [K] 254 θνατοὺc Plut.; βροτοὺc V; (~ gVgBgE); [Π$^{3}$K] ἀνακίρναcθαι Π$^{3}$BOAΛ (-κιρνά- Π$^{3}$, -κιρνᾶ- OD) et V$^{2}$E$^{2}$ et $^{1}Σ^{mv}$ et gBgE: -κρίν- (L)MVE et gV: ἐντείναcθαι Plut. (ἀντ- codd. plerique) 255 μυελὸν] φιλιαc Π$^{3}$ (~ gB); [K] ψυχῆc Π$^{3}$KΩVLP et gB et Plut.: -χᾶc Δ 256 cτόργηθρα gB; θέλγητρα Π$^{3}$ et Plut.; ambiguum K (]ρ[) 257 cυν- Π$^{3}$ 262 φαcι(ν) τερπειν πλεον η] cφα[λλειν K (~ gB) 263 δ' gB; [K] ὑγεία(ι) VΔ (~ gB); [K]





Χο. γύναι γεραιά, βαcιλίδοc πιcτὴ τροφέ,
Φαίδραc ὁρῶμεν τάcδε δυcτήνουc τύχαc,
ἄcημα δ' ἡμῖν ἥτιc ἐcτὶν ἡ νόcοc·
cοῦ δ' ἂν πυθέcθαι καὶ κλύειν βουλοίμεθ' ἄν.
Τρ. οὐκ οἶδ', ἐλέγχουc'· οὐ γὰρ ἐννέπειν θέλει.
Χο. οὐδ' ἥτιc ἀρχὴ τῶνδε πημάτων ἔφυ;
Τρ. ἐc ταὐτὸν ἥκειc· πάντα γὰρ cιγᾶι τάδε.
Χο. ὡc ἀcθενεῖ τε καὶ κατέξανται δέμαc.
Τρ. πῶc δ' οὔ, τριταίαν γ' οὖc' ἄcιτοc ἡμέραν;
Χο. πότερον ὑπ' ἄτηc ἢ θανεῖν πειρωμένη;
Τρ. θανεῖν; ἀcιτεῖ γ' εἰc ἀπόcταcιν βίου.
Χο. θαυμαcτὸν εἶπαc, εἰ τάδ' ἐξαρκεῖ πόcει.
Τρ. κρύπτει γὰρ ἥδε πῆμα κοὔ φηcιν νοcεῖν.
Χο. ὁ δ' ἐc πρόcωπον οὐ τεκμαίρεται βλέπων;
Τρ. ἔκδημοc ὢν γὰρ τῆcδε τυγχάνει χθονόc.
Χο. cὺ δ' οὐκ ἀνάγκην προcφέρειc, πειρωμένη
νόcον πυθέcθαι τῆcδε καὶ πλάνον φρενῶν;
Τρ. ἐc πάντ' ἀφῖγμαι κοὐδὲν εἴργαcμαι πλέον.
οὐ μὴν ἀνήcω γ' οὐδὲ νῦν προθυμίαc,
ὡc ἂν παροῦcα καὶ cύ μοι ξυμμαρτυρῆιc
οἷα πέφυκα δυcτυχοῦcι δεcπόταιc.

codd.: Π$^{3}$(269–87); K; Ω = MBOA; V; Λ = CDELP

268 τᾶcδε MB (~ M$^{2}$); [KE] δυcτήνουc (K)ΩVLP: -νου Δ 269 ἐcτὶν ἥτιc L 271$^{n}$ θεράπαινα M usque ad 433 (sed 310 τροφόc), tum τροφόc 490–704 271 ἐλέγχουc' Π$^{3}$(-cα[)BAVΛ et $^{1}Σ^{b}$ et $Σ^{mnv}$ et $^{1}Σ^{mnbv}$: ἐλέγχουc O et $^{1}Σ^{n}$: ἐννέπουcα M: [K] 272 δωμάτων M (δειμ- M$^{2}$); **μάτων B (~ B$^{c}$); [Π$^{3}$] 273 ἥκειc AΛ et B$^{1c?}$ et $^{1}Σ^{n}$: ἥκει Π$^{3}$KMB$^{?}$OV et $^{1}Σ^{v}$: utrumque $Σ^{mnbv}$ 275 οὔ] οὖν Π$^{3}$ γ' KBΛ: om. ΩV: [Π$^{3}$] 277 θανεῖν; Murray: θανεῖν codd.: οὐκ οἶδ' Wilamowitz, ἄδηλ' Musgrave: cf. Studies 50–2 γ' Purgold: δ' fere codd. (-εῖ δ' V$^{1c}$, -εῖν V; [K]) 278–9 inuerso ordine Π$^{3}$ 280 ὁ δ'] οὐδ' Π$^{3}$(ουδ)L (~ Π$^{3}$ man. sec., L$^{c}$) 281 ὢν γὰρ] γὰρ ὢν OP; ὢν C 282 αναγκηc Π$^{3}$ 283 πλάνον (K)MBOVCLP (post φρενῶν O): πλάνην ADE: [Π$^{3}$] 284 ἐc L: εἰc Π$^{3}$KΩVΔP πάντ' KAΛ et gE: πᾶν Π$^{3}$MBOV 285 ἀνύcω DE (~ D$^{2}$); ἀρήcω O; (~ gE); [Π$^{3}$] τὴν ἐμὴν προθυμίαν $^{γρ}Σ^{b}$ (~ gE); [Π$^{3}$] 286 ξυμ- ΩVLP: cυμ- Δ: [Π$^{3}$K]

ἄγ', ὦ φίλη παῖ, τῶν πάροιθε μὲν λόγων
λαθώμεθ' ἄμφω, καὶ ϲύ θ' ἡδίων γενοῦ
ϲτυγνὴν ὀφρῦν λύϲαϲα καὶ γνώμηϲ ὁδόν,
ἐγώ θ' ὅπηι ϲοι μὴ καλῶϲ τόθ' εἰπόμην
μεθεῖϲ' ἐπ' ἄλλον εἶμι βελτίω λόγον.
κεἰ μὲν νοϲεῖϲ τι τῶν ἀπορρήτων κακῶν,
γυναῖκεϲ αἵδε ϲυγκαθιϲτάναι νόϲον·
εἰ δ' ἔκφορόϲ ϲοι ϲυμφορὰ πρὸϲ ἄρϲεναϲ,
λέγ', ὡϲ ἰατροῖϲ πρᾶγμα μηνυθῆι τόδε.
εἶέν, τί ϲιγᾶιϲ; οὐκ ἐχρῆν ϲιγᾶν, τέκνον,
ἀλλ' ἤ μ' ἐλέγχειν, εἴ τι μὴ καλῶϲ λέγω,
ἢ τοῖϲιν εὖ λεχθεῖϲι ϲυγχωρεῖν λόγοιϲ.
φθέγξαι τι, δεῦρ' ἄθρηϲον. ὦ τάλαιν' ἐγώ,
γυναῖκεϲ, ἄλλωϲ τούϲδε μοχθοῦμεν πόνουϲ,
ἴϲον δ' ἄπεϲμεν τῶι πρίν· οὔτε γὰρ τότε
λόγοιϲ ἐτέγγεθ' ἥδε νῦν τ' οὐ πείθεται.
ἀλλ' ἴϲθι μέντοι—πρὸϲ τάδ' αὐθαδεϲτέρα
γίγνου θαλάϲϲηϲ—εἰ θανῆι, προδοῦϲα τοὺϲ
παῖδαϲ, πατρώιων μὴ μεθέξονταϲ δόμων,
μὰ τὴν ἄναϲϲαν ἱππίαν Ἀμαζόνα,
ἣ ϲοῖϲ τέκνοιϲι δεϲπότην ἐγείνατο,
νόθον φρονοῦντα γνήϲι', οἶϲθά νιν καλῶϲ,
Ἱππόλυτον . . . Φα. οἴμοι. Τρ. θιγγάνει ϲέθεν τόδε;
Φα. ἀπώλεϲάϲ με, μαῖα, καὶ ϲε πρὸϲ θεῶν
τοῦδ' ἀνδρὸϲ αὖθιϲ λίϲϲομαι ϲιγᾶν πέρι.

codd.: K; Ω = MBOA; V; Λ = CDELP

288 ἀλλ' ⟨L⟩P et $D^{2\gamma\rho}$ (~ Tr et gE); [K]   πάροιθεν MCD et gE; [K]   291 θ'] δ' CE (~ $C^{2uv}$)   294 ϲυγκαθιϲτάναι MP: -ίϲτανται OAΔL et $M^2V^{3\gamma\rho}$ et $^1\Sigma^{n}$: -εϲτᾶναι V et $B^2$ et $^1\Sigma^{v}$: -έϲτανται B: indic. fut. $^1\Sigma^{mnbv}$: ]θ[.]ϲ[τ- K   νόϲων L? (~ $L^c$); [K]   296 ἰατρῶ L (~ $L^s$) μηνύϲω $V^s$; [K]   298 εἶ KΩV⟨L⟩P: ἦν Δ et Tr et gE   301 λόγουϲ O   302 τῶι Scaliger (cf. $\Sigma^{mnbv}$ τοῖϲ πρὶν ῥήμαϲιν): τῶν codd.: τοῖϲ $B^2$   303 ἐτέγγεθ' KΩCL et $V^{3\gamma\rho}Tr^{\gamma\rho}$: ἐθέλγεθ' VD(E)P et $B^2$Tr et $^1\Sigma^{(n)v}$: utrumque, una cum ἐπείθεθ', $\Sigma^{mnbv}$   τ' BOVLP: δ' KMAΔ   305 γενοῦ $\Sigma^{mb}$ (~ $\Sigma^{nv}$)   307 ἱππείαν LP   312 αὖθιϲ AVΔL (ante ἀνδρὸϲ A) et $K^2M^2$ et $\Sigma^{mnbv}$: αὖθι KMBOP





Τρ. ὁρᾶιϲ; φρονεῖϲ μὲν εὖ, φρονοῦϲα δ' οὐ θέλειϲ
παῖδάϲ τ' ὀνῆϲαι καὶ ϲὸν ἐκϲῶϲαι βίον.
Φα. φιλῶ τέκν'· ἄλληι δ' ἐν τύχηι χειμάζομαι.
Τρ. ἁγνὰϲ μέν, ὦ παῖ, χεῖραϲ αἵματοϲ φορεῖϲ;
Φα. χεῖρεϲ μὲν ἁγναί, φρὴν δ' ἔχει μίαϲμά τι.
Τρ. μῶν ἐξ ἐπακτοῦ πημονῆϲ ἐχθρῶν τινοϲ;
Φα. φίλοϲ μ' ἀπόλλυϲ' οὐχ ἑκοῦϲαν οὐχ ἑκών.
Τρ. Θηϲεύϲ τιν' ἡμάρτηκεν ἐϲ ϲ' ἁμαρτίαν;
Φα. μὴ δρῶϲ' ἔγωγ' ἐκεῖνον ὀφθείην κακῶϲ.
Τρ. τί γὰρ τὸ δεινὸν τοῦθ' ὅ ϲ' ἐξαίρει θανεῖν;
Φα. ἔα μ' ἁμαρτεῖν· οὐ γὰρ ἐϲ ϲ' ἁμαρτάνω.
Τρ. οὐ δῆθ' ἑκοῦϲά γ', ἐν δὲ ϲοὶ λελείψομαι.
Φα. τί δρᾶιϲ; βιάζηι, χειρὸϲ ἐξαρτωμένη;
Τρ. καὶ ϲῶν γε γονάτων, κοὐ μεθήϲομαί ποτε.
Φα. κάκ' ὦ τάλαινά ϲοι τάδ', εἰ πεύϲηι, κακά.
Τρ. μεῖζον γὰρ ἤ ϲου μὴ τυχεῖν τί μοι κακόν;
Φα. ὀλῆι. τὸ μέντοι πρᾶγμ' ἐμοὶ τιμὴν φέρει.
Τρ. κἄπειτα κρύπτειϲ, χρήϲθ' ἱκνουμένηϲ ἐμοῦ;
Φα. ἐκ τῶν γὰρ αἰϲχρῶν ἐϲθλὰ μηχανώμεθα.
Τρ. οὔκουν λέγουϲα τιμιωτέρα φανῆι;
Φα. ἄπελθε πρὸϲ θεῶν δεξιάν τ' ἐμὴν μέθεϲ.

codd.: K; Ω = MBOA; V; Λ = H(320–)CDELP

316 φορεῖϲ KMA: φέρειϲ BOVΛ et gE et Chr. Pat. 703   317 ἔχεται μιάϲματι V (μιάϲματι etiam AD); ἔχει μιάϲματα Athen. 530 D; (~ gBgE)   319 ἀπόλλυϲ' AΛ: -υϲιν KMBOV et gV   320 ϲ' om. OV (~ $V^c$; εἴ ϲ' D)   321 ἔγωγ' ἐκεῖνον OAVDELP et $^1\Sigma^{v}$: ἔγωγε κεῖνον MBHC et $^1\Sigma^{n}$: ambiguum K   322 τοῦδ' ὅ H(C); τουτο K   323 ϲ' om. V et gV (~ $V^c$; εἴ ϲ' P)   324 ἑκοῦϲά γ'] -οῦϲαν γ' D; -οῦϲαν C   λελήψομαι V et $A^sE^2$; λελιψ- K   325 ἐξαρτωμένη KΩLP et $V^3$: ἐξηρτημένη VΔ   326 τῶν B   γε om. AVE (~ $E^s$)   κου K, καὶ οὐ M: οὐ BOAVΛ   328 ἤ] εἴ M⟨B⟩ (~ $M^2B^2$ et gV)   330 χρήϲθ' KAHDEL: χρηϲτὰ M: χρήϲτ' BOVCP et $M^2$   ἱκνουμένηϲ ἐμοῦ BVΛ et $M^3$: -ηϲ ἐμοί OA et $M^2$: om. M: -ηϲ εμ[ K   331 αἰϲχρῶν ἐϲθλὰ $M^2$ et $^{\gamma\rho}\Sigma^{nbv}$: ἐϲθλῶν αἰϲχρὰ KΩVHCEP et $L^c$ et gV: αἰϲθλῶν αἰϲχρὰ D: ἐϲθλῶν ***** L   333 δεξιάν τ' ἐμὴν Δ: δεξιὰν ἐμὴν O et $B^2$ et $\Sigma^{n}$: δεξιᾶϲ τ' ἐμῆϲ (K)ΩVLP (δ' K, τ' $K^2$) et $\Sigma^{b}$

Τρ. οὐ δῆτ', ἐπεί μοι δῶρον οὐ δίδωϲ ὃ χρῆν.
Φα. δώϲω· ϲέβαϲ γὰρ χειρὸϲ αἰδοῦμαι τὸ ϲόν.
Τρ. ϲιγῷμ' ἂν ἤδη· ϲὸϲ γὰρ οὑντεῦθεν λόγοϲ.
Φα. ὦ τλῆμον, οἷον, μῆτερ, ἠράϲθηϲ ἔρον.
Τρ. ὃν ἔϲχε ταύρου, τέκνον; ἢ τί φῂϲ τόδε;
Φα. ϲύ τ', ὦ τάλαιν' ὅμαιμε, Διονύϲου δάμαρ.
Τρ. τέκνον, τί πάϲχειϲ; ϲυγγόνουϲ κακορροθεῖϲ;
Φα. τρίτη δ' ἐγὼ δύϲτηνοϲ ὡϲ ἀπόλλυμαι.
Τρ. ἔκ τοι πέπληγμαι· ποῖ προβήϲεται λόγοϲ;
Φα. ἐκεῖθεν ἡμεῖϲ, οὐ νεωϲτί, δυϲτυχεῖϲ.
Τρ. οὐδέν τι μᾶλλον οἶδ' ἃ βούλομαι κλύειν.
Φα. φεῦ·
πῶϲ ἂν ϲύ μοι λέξειαϲ ἁμὲ χρὴ λέγειν;
Τρ. οὐ μάντιϲ εἰμὶ τἀφανῆ γνῶναι ϲαφῶϲ.
Φα. τί τοῦθ' ὃ δὴ λέγουϲιν ἀνθρώπουϲ ἐρᾶν;
Τρ. ἥδιϲτον, ὦ παῖ, ταὐτὸν ἀλγεινόν θ' ἅμα.
Φα. ἡμεῖϲ ἂν εἶμεν θατέρωι κεχρημένοι.
Τρ. τί φῄϲ; ἐρᾷϲ, ὦ τέκνον; ἀνθρώπων τίνοϲ;
Φα. ὅϲτιϲ ποθ' οὗτόϲ ἐϲθ', ὁ τῆϲ Ἀμαζόνοϲ...
Τρ. Ἱππόλυτον αὐδᾷϲ; Φα. ϲοῦ τάδ', οὐκ ἐμοῦ, κλύειϲ.
Τρ. οἴμοι, τί λέξειϲ, τέκνον; ὥϲ μ' ἀπώλεϲαϲ.
γυναῖκεϲ, οὐκ ἀναϲχέτ', οὐκ ἀνέξομαι
ζῶϲ'· ἐχθρὸν ἦμαρ, ἐχθρὸν εἰϲορῶ φάοϲ.

codd.: K; Ω = MBOA; V; Λ = HCDELP

337 τλῆμον] μῆτερ VE (∼ $^{1}\Sigma^{mnbv}$) μῆτερ] τλῆμον V (∼ $^{1}\Sigma^{v}$); τλήμον (pot. qu. -ων) $E^{2}$ ερων K (∼ $K^{2}$) 338 ταῦρου M (∼ $M^{2}$); ταῦρον O; ταύρον $B^{2}$ 339 τ' KVΛ: δ' Ω 343 οὐ κεῖθεν L (∼ $L^{c}$) οὐ om. L (∼ $L^{c}$); ὁ M; οἱ $M^{2}$ et $^{γρ}\Sigma^{b}$; καὶ $^{γρ}\Sigma^{mnv}$ et $^{1}\Sigma^{mnbv}$ 345 ἁμὲ χρὴ MBV et $^{1}\Sigma^{b}$ (ἅμε MBV et $^{1}\Sigma^{b}$) et Ar. Equ. 16 et Olympiod. in Pl. Alc. p. 75 Westerink: ἅμ' ἐχρῆν KOAΛ (οὔ μ' D) et gVgE: utrumque ut uid. $^{1}\Sigma^{mnbv}$ 347 δὴ KΩVCLP et gE: om. HDE 348 ἀλγεινόν ΩVHLP: ἄλγιϲτόν CDE et gBgE: αλγ[ K 349 εἶμεν fere KMBΛ et $^{1}\Sigma^{n}$: ἦμεν OAVE et $^{1}\Sigma^{v}$ κεχρημένοι ΩV: -μέναι OΛ: [K] 350 ἀνθρώπου C; [K] 351 ἔϲθ' ΩVL: ἐϲτὶν ΔP: [K] 353 ὅϲ μ' DE 354ⁿ φα. CE (359ⁿ τρ. ante Κύπριϲ C); [D] 355 ἐχθρὸν (prius)] ἐχθρῶν DL? (∼ $L^{c}$ et Chr. Pat. 1010) δ' (τ' $M^{2}$) εἰϲορῶ M (∼ Chr. Pat.); [K]





ῥίψω μεθήϲω ϲῶμ', ἀπαλλαχθήϲομαι
βίου θανοῦϲα· χαίρετ', οὐκέτ' εἴμ' ἐγώ.
οἱ ϲώφρονεϲ γάρ, οὐχ ἑκόντεϲ ἀλλ' ὅμωϲ,
κακῶν ἐρῶϲι. Κύπριϲ οὐκ ἄρ' ἦν θεόϲ,
ἀλλ' εἴ τι μεῖζον ἄλλο γίγνεται θεοῦ,
ἣ τήνδε κἀμὲ καὶ δόμουϲ ἀπώλεϲεν.

Χο. ἄιεϲ ὤ, ἔκλυεϲ ὤ, [ϲτρ.
ἀνήκουϲτα τᾶϲ
τυράννου πάθεα μέλεα θρεομέναϲ;
ὀλοίμαν ἔγωγε πρὶν ϲᾶν, φίλα,
κατανύϲαι φρενῶν. ἰώ μοι, φεῦ φεῦ·
ὦ τάλαινα τῶνδ' ἀλγέων·
ὦ πόνοι τρέφοντεϲ βροτούϲ.
ὄλωλαϲ, ἐξέφηναϲ ἐϲ φάοϲ κακά.
τίϲ ϲε παναμέριοϲ ὅδε χρόνοϲ μένει;
τελευτάϲεταί τι καινὸν δόμοιϲ·
ἄϲημα δ' οὐκέτ' ἐϲτὶν οἷ φθίνει τύχα
Κύπριδοϲ, ὦ τάλαινα παῖ Κρηϲία.

codd.: $\Pi^{3}$(357–67, 371–); K; Ω = MBOA; V; Λ = H(–368)CDELP

359 κακῶν ($\Pi^{3}$)KMVΛ et $\Sigma^{nbv}$: κακῶϲ BOAD et $V^{3}E^{c}$ et $\Sigma^{d}$ 361 ἀπώλεϲεν ΩLP: διώλ- VΔ et fort. $\Pi^{3}$ (δ[ pot. qu. α[): [K] 363 θροουμέναϲ C; θροομ- D; θεομ- E; θρε[ K?; [$\Pi^{3}$] 364 ϲᾶν B, sicut coni. Elmsley: ϲὰν ΩVΛ (ϲᾶν H) et $B^{2}$: [$\Pi^{3}$K] φίλα Elmsley: φίλαν BOC⟨L⟩P et Tr: φιλίαν MAVHDE et $B^{1c}C^{2}$: [$\Pi^{3}$K]: cf. $\Sigma^{nbv}$ τὴν ϲὴν φιλίαν, $\Sigma^{mnbv}$ ϲου τὰϲ προϲφιλεῖϲ φρέναϲ 365 κατανύϲαι fere KBOA et $H^{2}$Tr ([υ] K, -ῦ- A et Tr, -ῦ- $H^{2}$) et $^{1}\Sigma^{(h)mnbv}$ (πληρῶϲαι): καταλῦϲαι fere MVΛ (-ύ- CELP, -ῦ- H) et fort. $^{1}\Sigma^{(h)mnbv}$ (λῆξιν λαβεῖν): [$\Pi^{3}$] φρένα BO (∼ $B^{2}$) ἰώ μοι ⟨$\Pi^{3?}$⟩Ω: ἰώ μοι μοι KLP: οἴμοι οἴμοι VΔ 366–7 hoc ordine $\Pi^{3uv}$ΩLP, inuerso VΔ (ὦ πόνοι post ἀλγέων iterat V): [K] 368 ὤλωλαϲ CD; [K] 369 τί K?P 370 τελευτάϲεταί BVΔ: -τήϲεταί ALP: -τᾶϲαί τε ⟨M⟩O: -τάϲϲετέ $M^{2}$: -ταϲ[ K? δόμοιϲ BOAP: ἐν δόμοιϲ MVΔ: erasum in L: [K] 371 τύχη L; -χα A; [$\Pi^{3}$K] 372 κρηϲϲία MO; [$\Pi^{3}$K]

Φα. Τροζήνιαι γυναῖκες, αἳ τόδ' ἔςχατον
οἰκεῖτε χώρας Πελοπίας προνώπιον,
ἤδη ποτ' ἄλλως νυκτὸς ἐν μακρῶι χρόνωι
θνητῶν ἐφρόντις' ἧι διέφθαρται βίος.
καί μοι δοκοῦςιν οὐ κατὰ γνώμης φύςιν
πράςςειν κακίον'· ἔςτι γὰρ τό γ' εὖ φρονεῖν
πολλοῖςιν· ἀλλὰ τῆιδ' ἀθρητέον τόδε·
τὰ χρήςτ' ἐπιςτάμεςθα καὶ γιγνώςκομεν,
οὐκ ἐκπονοῦμεν δ', οἱ μὲν ἀργίας ὕπο,
οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ
ἄλλην τιν'· εἰςὶ δ' ἡδοναὶ πολλαὶ βίου,
μακραί τε λέςχαι καὶ ςχολή, τερπνὸν κακόν,
αἰδώς τε· διςςαὶ δ' εἰςίν, ἡ μὲν οὐ κακή,
ἡ δ' ἄχθος οἴκων· εἰ δ' ὁ καιρὸς ἦν ςαφής,
οὐκ ἂν δύ' ἤςτην ταὔτ' ἔχοντε γράμματα.
ταῦτ' οὖν ἐπειδὴ τυγχάνω φρονοῦς' ἐγώ,
οὐκ ἔςθ' ὁποίωι φαρμάκωι διαφθερεῖν
ἔμελλον, ὥςτε τοὔμπαλιν πεςεῖν φρενῶν.
λέξω δὲ καί ςοι τῆς ἐμῆς γνώμης ὁδόν.
ἐπεί μ' ἔρως ἔτρωςεν, ἐςκόπουν ὅπως
κάλλιςτ' ἐνέγκαιμ' αὐτόν. ἠρξάμην μὲν οὖν

codd.: $\Pi^{3}$; K; Ω = MBOA; V; Λ = CDELP

378 *κακίον'* man. sec. cod. Oxon. Cyrilli Alex. de ador. 6 p. 455, sicut coni. Herwerden (Exerc. crit. [1862] 135): *κάκιον* codd. (ambiguum K) et gV et Cyr.: [$\Pi^{3}$] 379 *τάδε* MP et gV (~ Cyr.); [$\Pi^{3}$] 380–1 *τὰ...οὐκ ἐκ- δ'* ΩLP (*ἃ* B$^{s}$) et gV et Stob. 3. 30. 2 et u.l. in Cyr.: *ἃ...οὐκ ἐκ-* (om. *δ'*) fere VΔ (*τὰ* D, *ἃ* D$^{2}$) et $\Pi^{3uv}$ (post *εκπ[* deest) et u.l. in Cyr.: *τὰ...κοὐκ ἐκ-* (om. *δ'*) L$^{c}$ et u.l. in Cyr.: *α...κουκ εκ-* (om. *δ'*) K: cf. $\Sigma^{nbvd}$ *ἅτινα...χρηςτὰ...καθέςτηκεν ἴςμεν, ἐκπονεῖν δὲ αὐτὰ οὐ θέλομεν* (*τὰ* $^{1}\Sigma^{b}$, *ἃ* $^{1}\Sigma^{nvd}$) 382 *προθέντες* KAVΛ et B$^{c}$ et gV et $^{1}\Sigma^{nbv}$ et $^{1}\Sigma^{mbv}$ et Stob. et Cyr.: *προςθ-* M⟨B⟩O: [$\Pi^{3}$] 384 *μακρή...λέςχη* Olympiod. in Pl. Alc. p. 91 Westerink (~ Stob. et Cyr.) *τε*] *δὲ* Stob. (~ Olymp. et Cyr.); [$\Pi^{3}$] 385 *α]λλως τ[ε* $\Pi^{3c}$ (*α]λλ' ὡς τ[ε* primitus uol. ut uid.) *διςαὶ* MC; [$\Pi^{3}$] 387 *γράμματα* MOVΛ et B$^{γρ}$ et $\Sigma^{nbv}$ et Eust. in Il. p. 723. 15: *γραματα* K: *πράγματα* BA et D$^{γρ}$: [$\Pi^{3}$] 388 *προγνοῦς'* A; [$\Pi^{3}$] 389 *διαφθαρεῖν* M; *-φθαρῆμαι* C; [$\Pi^{3}$] 390 *τοὔμπαλιν*] *ταμπ[αλιν* $\Pi^{3}$; *γ εμπαλιν* K (~ K$^{2}$)





ἐκ τοῦδε, ςιγᾶν τήνδε καὶ κρύπτειν νόςον·
γλώςςηι γὰρ οὐδὲν πιςτόν, ἣ θυραῖα μὲν
φρονήματ' ἀνδρῶν νουθετεῖν ἐπίςταται,
αὐτὴ δ' ὑφ' αὑτῆς πλεῖςτα κέκτηται κακά.
τὸ δεύτερον δὲ τὴν ἄνοιαν εὖ φέρειν
τῶι ςωφρονεῖν νικῶςα προυνοηςάμην.
τρίτον δ', ἐπειδὴ τοιςίδ' οὐκ ἐξήνυτον
Κύπριν κρατῆςαι, κατθανεῖν ἔδοξέ μοι,
κράτιςτον (οὐδεὶς ἀντερεῖ) βουλευμάτων.
ἐμοὶ γὰρ εἴη μήτε λανθάνειν καλὰ
μήτ' αἰςχρὰ δρώςηι μάρτυρας πολλοὺς ἔχειν.
τὸ δ' ἔργον ἤιδη τὴν νόςον τε δυςκλεᾶ,
γυνή τε πρὸς τοῖςδ' οὖς' ἐγίγνωςκον καλῶς,
μίςημα πᾶςιν· ὡς ὄλοιτο παγκάκως
ἥτις πρὸς ἄνδρας ἤρξατ' αἰςχύνειν λέχη
πρώτη θυραίους. ἐκ δὲ γενναίων δόμων
τόδ' ἦρξε θηλείαιςι γίγνεςθαι κακόν·
ὅταν γὰρ αἰςχρὰ τοῖςιν ἐςθλοῖςιν δοκῆι,
ἦ κάρτα δόξει τοῖς κακοῖς γ' εἶναι καλά.
μιςῶ δὲ καὶ τὰς ςώφρονας μὲν ἐν λόγοις,
λάθραι δὲ τόλμας οὐ καλὰς κεκτημένας·
αἳ πῶς ποτ', ὦ δέςποινα ποντία Κύπρι,
βλέπουςιν ἐς πρόςωπα τῶν ξυνευνετῶν
οὐδὲ ςκότον φρίςςουςι τὸν ξυνεργάτην

codd.: $\Pi^{3}$(–394); $\Pi^{4}$(403–4, 406–10, 413–); K; Ω = MBOA; V; Λ = CDELP

397 *ὑφ' αὑτῆς* (K)AVΛ et gBgE: *ὑφ' αὐ-* MB: *ὑπ' αὐ-* O et gV 398 *δὲ* KVΛ et gB: *τε* Ω *εὔνοιαν* VE (~ V$^{2}$ et gB) 400 *τοιςίδ'* Valckenaer: *τοῖςιν* codd. 402 *βουλευμάτων* MBO: *-εύμαςι(ν)* AVΛ et B$^{2}$: [K] 405 *ἤ(ι)δη* KΩD: *ἤ(ι)δειν* VΛ et B$^{2}$ 406 *τε* $\Pi^{4}$LP: *δὲ* KΩVΔ et L$^{c}$ et $^{1}\Sigma^{n}$: om. O 407 *ὡς* VΛ et B$^{2}$ et gBgE: *ὥςτ'* $\Pi^{4}$KΩ et $\Sigma^{nbv}$ 407a *οτ εχρος ειην τοις εμοιςι φιλτατοις* $\Pi^{4}$ 408 *λέχος* $\Pi^{4}$C (~ C$^{c}$ et gBgE) 412 *δόξει* BOΛ et A$^{c}$ et gB: *δόξη(ι)* MAV: *δοκει* K *γ'* K$^{uv}$MBV: om. OAΛ et gB 415 *αἳ*] *κα[ι]* $\Pi^{4}$ 416 *πρόςωπα* $\Pi^{4}$KΩVLP: *-πον* Δ *ξυν-* ΩVLP: *ςυν-* $\Pi^{4}$Δ: [K] 417 *ςυν-* $\Pi^{4}$CP

τέραμνά τ' οἴκων μή ποτε φθογγὴν ἀφῆι;
ἡμᾶς γὰρ αὐτὸ τοῦτ' ἀποκτείνει, φίλαι,
ὡς μήποτ' ἄνδρα τὸν ἐμὸν αἰςχύνας' ἁλῶ,
μὴ παῖδας οὓς ἔτικτον· ἀλλ' ἐλεύθεροι
παρρηςίαι θάλλοντες οἰκοῖεν πόλιν
κλεινῶν Ἀθηνῶν, μητρὸς οὕνεκ' εὐκλεεῖς.
δουλοῖ γὰρ ἄνδρα, κἂν θραςύςπλαγχνός τις ἦι,
ὅταν ξυνειδῆι μητρὸς ἢ πατρὸς κακά.
μόνον δὲ τοῦτό φας' ἁμιλλᾶςθαι βίωι,
γνώμην δικαίαν κἀγαθὴν ὅτωι παρῆι·
κακοὺς δὲ θνητῶν ἐξέφην' ὅταν τύχηι,
προθεὶς κάτοπτρον ὥςτε παρθένωι νέαι,
χρόνος· παρ' οἷςι μήποτ' ὀφθείην ἐγώ.
Χο. φεῦ φεῦ, τὸ cῶφρον ὡς ἁπανταχοῦ καλὸν
καὶ δόξαν ἐςθλὴν ἐν βροτοῖς καρπίζεται.
Τρ. δέςποιν', ἐμοί τοι ςυμφορὰ μὲν ἀρτίως
ἡ cὴ παρέςχε δεινὸν ἐξαίφνης φόβον·
νῦν δ' ἐννοοῦμαι φαῦλος οὖςα, κἀν βροτοῖς
αἱ δεύτεραί πως φροντίδες ςοφώτεραι.
οὐ γὰρ περιςςὸν οὐδὲν οὐδ' ἔξω λόγου
πέπονθας, ὀργαὶ δ' ἐς ς' ἀπέςκηψαν θεᾶς.

codd.: $\Pi^4$(–423); K; Ω = MBOA; V; Λ = CDELP

418 *τέραμνά* $\Pi^4$DEL: *τέρεμνά* KΩVCP 419 *ἀποκτείνει* $\Pi^4$(K)OALP: *-κτενεῖ* MBVΔ 422 *οἰκεῖεν* VE; *οἰκοῖμε* C; *οικωςον* $\Pi^4$ *πόλιν*] *πεδον* $\Pi^4$ 424 *θραςύςτομός* Diog. Laert. 4. 51 (~ gVgBgE et Stob. 4. 30. 11 et Plut. mor. 1 C, 28 C et Aristid. ii. 628 Dindorf) *ἦ(ι)* KΩVELP et gVgB et Plut. et Diog.: *εἶ* D et Stob. cod. S: *εἴη* C et gE: om. Stob. codd. MA 425 *πατρὸς ἢ μητρὸς* Aristid. et Plut. pars codd. (~ gVgBgE et Plut. pars codd. et Stob.) 426 *φαςι τοῦτ'* (uel *τοῦθ'*) Stob. (~ gV) 427 *ὅταν* Stob. (~ gV) 429 *προθεὶς* ΩVEL et $^1\Sigma^{nv}$ et gV: *προςθ-* OCDP et E$^2$: utrumque Stob. codd.: [K] *παρθένος νέα* ⟨E⟩LP (~ E$^2$ et gV et Stob.); [K] 430 *-ποτ'*] *προς-* K (~ gV) 431 *πῶς* CLP et gE (~ gVgB) *ἁπανταχῇ* L (~ gV(gB)gE et Chr. Pat. 549); [K] 432 *καρπίζεται* ΩV et E$^2$ et gV: *κομίζεται* Λ et gBgE et Chr. Pat.: [K] 438 *ἀπέςκηψαν* BOAΛ: *ἐπ-* MV et E$^2$Tr: [K]





ἐρᾷς (τί τοῦτο θαῦμα;) cὺν πολλοῖς βροτῶν·
κἄπειτ' ἔρωτος οὕνεκα ψυχὴν ὀλεῖς;
οὔ τἄρα λύει τοῖς ἐρῶςι τῶν πέλας,
ὅςοι τε μέλλους', εἰ θανεῖν αὐτοὺς χρεών.
Κύπρις γὰρ οὐ φορητὸν ἢν πολλὴ ῥυῆι,
ἣ τὸν μὲν εἴκονθ' ἡςυχῆι μετέρχεται,
ὃν δ' ἂν περιςςὸν καὶ φρονοῦνθ' εὕρηι μέγα,
τοῦτον λαβοῦςα πῶς δοκεῖς καθύβριςεν.
φοιτᾶι δ' ἀν' αἰθέρ', ἔςτι δ' ἐν θαλαςςίωι
κλύδωνι Κύπρις, πάντα δ' ἐκ ταύτης ἔφυ·
ἥδ' ἐςτὶν ἡ ςπείρουςα καὶ διδοῦς' ἔρον,
οὗ πάντες ἐςμὲν οἱ κατὰ χθόν' ἔκγονοι.
ὅςοι μὲν οὖν γραφάς τε τῶν παλαιτέρων
ἔχουςιν αὐτοί τ' εἰςὶν ἐν μούςαις ἀεὶ
ἴςαςι μὲν Ζεὺς ὥς ποτ' ἠράςθη γάμων
Ϲεμέλης, ἴςαςι δ' ὡς ἀνήρπαςέν ποτε
ἡ καλλιφεγγὴς Κέφαλον ἐς θεοὺς Ἕως
ἔρωτος οὕνεκ'· ἀλλ' ὅμως ἐν οὐρανῶι
ναίουςι κοὐ φεύγουςιν ἐκποδὼν θεούς,
ςτέργουςι δ', οἶμαι, ξυμφορᾶι νικώμενοι.
cὺ δ' οὐκ ἀνέξηι; χρῆν ς' ἐπὶ ῥητοῖς ἄρα
πατέρα φυτεύειν ἢ 'πὶ δεςπόταις θεοῖς
ἄλλοιςιν, εἰ μὴ τούςδε γε ςτέρξεις νόμους.
πόςους δοκεῖς δὴ κάρτ' ἔχοντας εὖ φρενῶν

codd.: $\Pi^3$(442–55); K(–459); Ω = MBOA; V; Λ = CDELP

441 *οὔτ' ἄρα* fere BOAΛ et V$^3$: *οὐκ ἄρα* MV et E$^2$: [K] *λύει* Valckenaer (cl. $\Sigma^{mcbv}$ *λυςιτελεῖ*): *γ' οὐ δεῖ* codd.: [K] 443 *φορητὸν* Stob. 4. 20. 5: *-τὸς* codd. et (gE) et Σ Tr. 990: [$\Pi^3$K] 444 *ἣ* ΩVLP et Stob.: *ἢ* C: *ἣν* D: om. E et gE: [$\Pi^3$K] 445 *ἂν* MBOV⟨L⟩P et A$^c$ et Stob.: *αὖ* AΔ et Tr et gE: [$\Pi^3$K] *περιςςὰ* Stob. (~ gE); [$\Pi^3$K] 446 *πῶς δοκεῖς*] *οὕτω πῶς* (uel *πως*) Stob. (~ gE); [K] 447 *ἀν'*] *ἐν* D et $^1\Sigma^{n}$; [$\Pi^3$K] 449 *ἔρων* $\Pi^3$ et pars codd. Plut. mor. 756 E; [K] 450 *ἔκγονοι* $\Pi^{3\,man.sec.}$BVL et Plut. et Chr. Pat. 50: *ἔγγ-* $\Pi^3$ΩΔP: [K] 456 *εἵνεκ'* KE 458 *ξυμ-* KΛ et gE: *ςυμ-* ΩV et Chr. Pat. 1065 461 *ςτέρξεις* ΩV: *ςτέργεις* Λ et $\Sigma^{b}$ 462 *φρενῶν* ADLP: *φρονεῖν* MBOVCE

νοϲοῦνθ' ὁρῶνταϲ λέκτρα μὴ δοκεῖν ὁρᾶν;
πόϲουϲ δὲ παιϲὶ πατέραϲ ἡμαρτηκόϲιν
ϲυνεκκομίζειν Κύπριν; ἐν ϲοφοῖϲι γὰρ
τόδ' ἐϲτὶ θνητῶν, λανθάνειν τὰ μὴ καλά.
οὐδ' ἐκπονεῖν τοι χρὴ βίον λίαν βροτούϲ·
οὐδὲ ϲτέγην γὰρ ἧι κατηρεφεῖϲ δόμοι
καλῶϲ ἀκριβώϲαιϲ ἄν· ἐϲ δὲ τὴν τύχην
πεϲοῦϲ' ὅϲην ϲύ, πῶϲ ἂν ἐκνεῦϲαι δοκεῖϲ;
ἀλλ' εἰ τὰ πλείω χρηϲτὰ τῶν κακῶν ἔχειϲ,
ἄνθρωποϲ οὖϲα κάρτα γ' εὖ πράξειαϲ ἄν.
ἀλλ', ὦ φίλη παῖ, λῆγε μὲν κακῶν φρενῶν,
λῆξον δ' ὑβρίζουϲ', οὐ γὰρ ἄλλο πλὴν ὕβριϲ
τάδ' ἐϲτί, κρείϲϲω δαιμόνων εἶναι θέλειν,
τόλμα δ' ἐρῶϲα· θεὸϲ ἐβουλήθη τάδε·
νοϲοῦϲα δ' εὖ πωϲ τὴν νόϲον καταϲτρέφου.
εἰϲὶν δ' ἐπωιδαὶ καὶ λόγοι θελκτήριοι·
φανήϲεταί τι τῆϲδε φάρμακον νόϲου.
ἦ τἄρ' ἂν ὀψέ γ' ἄνδρεϲ ἐξεύροιεν ἄν,
εἰ μὴ γυναῖκεϲ μηχανὰϲ εὑρήϲομεν.
Χο. Φαίδρα, λέγει μὲν ἥδε χρηϲιμώτερα
πρὸϲ τὴν παροῦϲαν ξυμφοράν, αἰνῶ δὲ ϲέ.
ὁ δ' αἶνοϲ οὗτοϲ δυϲχερέϲτεροϲ λόγων
τῶν τῆϲδε καί ϲοι μᾶλλον ἀλγίων κλύειν.
Φα. τοῦτ' ἔϲθ' ὃ θνητῶν εὖ πόλειϲ οἰκουμέναϲ
δόμουϲ τ' ἀπόλλυϲ', οἱ καλοὶ λίαν λόγοι·

codd.: Ω = MBOA; V; Λ = H(469–)CDELP

464 ἡμαρτηκόταϲ MO (~ $M^2$) 466 τόδ' Wilamowitz: τάδ' codd. et gV 467 χρὴ Λ et $^1\Sigma^{n}$ et $^1\Sigma^{nbv}$: χρῆν ΩV et $^1\Sigma^{b(v)}$ λίαν ante βίον V; post βροτοὺϲ O 468 ἧι Valckenaer: ἧϲ codd. 469 ἀκριβώϲαιϲ ἂν Hadley: ἀκριβώϲειαν fere codd. 470 ἐκνεῦϲαι $B^{?}$OAΛ et $V^c$ et $^1\Sigma^{nbv}$: ἐκπν- MV et $B^2H^2$ 472 κάρτ' εὖ L (~ $L^c$ et gV); κάρτ' ἂν εὖ Elmsley 473 φρενῶν κακῶν H (~ gE) 474 πλὴν] πρὶν BC (~ $B^s$) 480 τἄρ' ἂν $H^c$, sicut coni. Brunck: τἄρα γ' fere ⟨H⟩BCDLP et gB et $^1\Sigma^{nb}$: γὰρ ἂν ΩVE et $^1\Sigma^{v}$: τ' ἄρ' gE 483 ξυμ- BΛ et gE: ϲυμ- ΩV 484 δυϲχερ- VLP: δυϲτυχ- ΩΔ et $\Sigma^{nbv}$ 485 ϲοῦ M; ϲὺ OC ἄλγιον MO; ἀλγίω H 486 τόδ' gB (~ gVgE) 487 καλλοὶ VD (~ gVgBgE)





οὐ γάρ τι τοῖϲιν ὠϲὶ τερπνὰ χρὴ λέγειν
ἀλλ' ἐξ ὅτου τιϲ εὐκλεὴϲ γενήϲεται.
Τρ. τί ϲεμνομυθεῖϲ; οὐ λόγων εὐϲχημόνων
δεῖ ϲ' ἀλλὰ τἀνδρόϲ. ὡϲ τάχοϲ διιϲτέον,
τὸν εὐθὺν ἐξειπόνταϲ ἀμφὶ ϲοῦ λόγον.
εἰ μὲν γὰρ ἦν ϲοι μὴ 'πὶ ϲυμφοραῖϲ βίοϲ
τοιαῖϲδε, ϲώφρων δ' οὖϲ' ἐτύγχανεϲ γυνή,
οὐκ ἄν ποτ' εὐνῆϲ οὕνεχ' ἡδονῆϲ τε ϲῆϲ
προῆγον ἄν ϲε δεῦρο· νῦν δ' ἀγὼν μέγαϲ,
ϲῶϲαι βίον ϲόν, κοὐκ ἐπίφθονον τόδε.
Φα. ὦ δεινὰ λέξαϲ', οὐχὶ ϲυγκλήιϲειϲ ϲτόμα
καὶ μὴ μεθήϲειϲ αὖθιϲ αἰϲχίϲτουϲ λόγουϲ;
Τρ. αἰϲχρ', ἀλλ' ἀμείνω τῶν καλῶν τάδ' ἐϲτί ϲοι·
κρεῖϲϲον δὲ τοὔργον, εἴπερ ἐκϲώϲει γέ ϲε,
ἢ τοὔνομ', ὧι ϲὺ κατθανῆι γαυρουμένη.
Φα. ἆ μή ϲε πρὸϲ θεῶν, εὖ λέγειϲ γὰρ αἰϲχρὰ δέ,
πέρα προβῆιϲ τῶνδ'· ὡϲ ὑπείργαϲμαι μὲν εὖ
ψυχὴν ἔρωτι, τἀιϲχρὰ δ' ἢν λέγηιϲ καλῶϲ
ἐϲ τοῦθ' ὃ φεύγω νῦν ἀναλωθήϲομαι.
Τρ. εἴ τοι δοκεῖ ϲοι, χρῆν μὲν οὔ ϲ' ἁμαρτάνειν,
εἰ δ' οὖν, πιθοῦ μοι· δευτέρα γὰρ ἡ χάριϲ.

codd.: K(492–); Ω = MBOA; V; Λ = HCDELP

488 τι ΩP et $L^c$ et gVgB: τοι VΔ⟨L⟩ et $^1\Sigma^{n}$ χρὴ ΩV et gV: δεῖ BΛ et gB 491 διιϲτέον BOVCDEL et $^{1i}\Sigma^{nbv}$: διοιϲτέον MAHP 496 προῆγον Scaliger et $^1\Sigma^{n}$ (προετρεπόμην): προϲῆγον codd.: [K] 498 ϲυγκλή(ι)ϲειϲ (K)A: -κλείϲειϲ MBOVΛ (-ϲηϲ C) et gVgE et Chr. Pat. 111, 439 499 μεθήϲειϲ (K)ΩDELP et $H^s$ et $^1\Sigma^{nb}$ et gVgE: -ϲηϲ VHC et Tr et $^1\Sigma^{v}$ 500 καλῶν BACLP et $M^2V^2H^2E^2$ et $\Sigma^{nbv}$: κακῶν KMOVHDE τάδ' KΩVCLP et $B^s$: τῶνδ' BE: δ' $H^{2uv}$: om. HD 501 ἐκϲώϲει γέ ϲε ΩVHDE: -ϲει ϲέ γε C et gE: -ϲειέ ϲε LP: [K] 503 ἆ μή ϲε Nauck (ϲε iam Porson): καὶ μή γε fere codd. (μήν H, μή $H^{c\,uv}$; τε C): [K] γὰρ om. MVH (~ $^1\Sigma^{bv}$); μὲν $V^2$ δέ] τάδε M; [K] 505 δ' ἢν] δ' ἢ M, δῆ* H (~ $M^2H^c$) λέγη(ι)ϲ KΩCDEP et $L^c$: λέγειϲ VH⟨L⟩ 506 φεύγων AP ἀναλωθήϲομαι OAHL: αναλ- K: ἂν ἀλ- fere MBCDP: ἀλ- VE 507 τοι BOAHEL et $P^c$ et $^1\Sigma^{b}$: τι MVCDP et $E^2$ et $^1\Sigma^{nv}$: [K] χρὴ H (~ $^1\Sigma^{mhc}$ et $^1\Sigma^{nbv}$); χρῆν MV ϲ'] με K

ἔϲτιν κατ' οἴκουϲ φίλτρα μοι θελκτήρια
ἔρωτοϲ, ἦλθε δ' ἄρτι μοι γνώμηϲ ἔϲω,
ἅ ϲ' οὔτ' ἐπ' αἰϲχροῖϲ οὔτ' ἐπὶ βλάβηι φρενῶν
παύϲει νόϲου τῆϲδ', ἢν ϲὺ μὴ γένηι κακή.
δεῖ δ' ἐξ ἐκείνου δή τι τοῦ ποθουμένου
ϲημεῖον, ἢ πλόκον τιν' ἢ πέπλων ἄπο,
λαβεῖν, ϲυνάψαι τ' ἐκ δυοῖν μίαν χάριν.

Φα. πότερα δὲ χριϲτὸν ἢ ποτὸν τὸ φάρμακον;
Τρ. οὐκ οἶδ'· ὄναϲθαι, μὴ μαθεῖν, βούλου, τέκνον.
Φα. δέδοιχ' ὅπωϲ μοι μὴ λίαν φανῆιϲ ϲοφή.
Τρ. πάντ' ἂν φοβηθεῖϲ' ἴϲθι. δειμαίνειϲ δὲ τί;
Φα. μή μοί τι Θηϲέωϲ τῶνδε μηνύϲηιϲ τόκωι.
Τρ. ἔαϲον, ὦ παῖ· ταῦτ' ἐγὼ θήϲω καλῶϲ.
μόνον ϲύ μοι, δέϲποινα ποντία Κύπρι,
ϲυνεργὸϲ εἴηϲ· τἄλλα δ' οἷ' ἐγὼ φρονῶ
τοῖϲ ἔνδον ἡμῖν ἀρκέϲει λέξαι φίλοιϲ.

Χο. Ἔρωϲ Ἔρωϲ, ὁ κατ' ὀμμάτων [ϲτρ. α
ϲτάζων πόθον, εἰϲάγων γλυκεῖαν
ψυχᾶι χάριν οὓϲ ἐπιϲτρατεύϲηι,
μή μοί ποτε ϲὺν κακῶι φανείηϲ
μηδ' ἄρρυθμοϲ ἔλθοιϲ.
οὔτε γὰρ πυρὸϲ οὔτ' ἄϲτρων ὑπέρτερον βέλοϲ
οἷον τὸ τᾶϲ Ἀφροδίταϲ ἵηϲιν ἐκ χερῶν
Ἔρωϲ ὁ Διὸϲ παῖϲ.

codd.: K(–515); Ω = MBOA; V; Λ = H(–518)CDELP

510 αρτι δ ηλθε K 512 παύϲη CP 514 πλόκον Reiske: λόγον KΩΛ et $^{1}\Sigma^{nb}$: λόγων V et $^{1}\Sigma^{v}$ 515 δυεῖν HC; [K] 518 ϲοφῆι φανῆϲ M; φανῆϲ ϲοφῆ C 520 τέκνω L 525 ὁ M: ὃ BΔ et $M^2$ et $\Sigma^{nbv}$ (ὃ ἀντὶ τοῦ ὃϲ) et gB: ὃϲ OAVLP et $B^2$ et Eust. in Il. p. 432. 7 526 ϲτάζων Paley: ϲτάζειϲ BOAVΛ et gB et Eust.: ὅϲτιϲ ϲτάξειϲ M (-ζ- $M^2$) εἰϲάγων τε M (~ gB) 527 ψυχᾶ(ι) AVΛ et $E^c$ et $\Sigma^{v}$ et fort. $\Sigma^{m}$: -χᾶϲ M: -χαῖϲ BO⟨E⟩ et $M^2$ et gB: ῆ super -αῖϲ $B^2$ οἷϲ $B^?$ et $M^2B^2$ (ὧν $B^{gl}$); αἷϲ ⟨E⟩; ἃϲ $E^c$; (~ gB) 529 ἄρρ- BOL⟨$P^?$⟩ et $M^2$: ἄρ- MAVΔ et $B^2P^{c?}$ et gB ἔλθηϲ C⟨$L^?$⟩ et Tr et gB 532 τᾶϲ BOVΛ: τῆϲ MA 533 χερῶν Aldina: χειρῶν codd.





ἄλλωϲ ἄλλωϲ παρά τ' Ἀλφεῶι [ἀντ. α
Φοίβου τ' ἐπὶ Πυθίοιϲ τεράμνοιϲ
βούταν φόνον Ἑλλὰϲ ⟨αἴ'⟩ ἀέξει,
Ἔρωτα δέ, τὸν τύραννον ἀνδρῶν,
τὸν τᾶϲ Ἀφροδίταϲ
φιλτάτων θαλάμων κληιδοῦχον, οὐ ϲεβίζομεν,
πέρθοντα καὶ διὰ πάϲαϲ ἱέντα ϲυμφορᾶϲ
θνατοὺϲ ὅταν ἔλθηι.

τὰν μὲν Οἰχαλίαι [ϲτρ. β
πῶλον ἄζυγα λέκτρων,
ἄνανδρον τὸ πρὶν καὶ ἄνυμφον, οἴκων
ζεύξαϲ' ἀπ' Εὐρυτίων
δρομάδα ναΐδ' ὅπωϲ τε βάκ-
χαν ϲὺν αἵματι, ϲὺν καπνῶι,
φονίοιϲι νυμφείοιϲ
Ἀλκμήναϲ τόκωι Κύπριϲ ἐξέδωκεν· ὦ
τλάμων ὑμεναίων.

ὦ Θήβαϲ ἱερὸν [ἀντ. β
τεῖχοϲ, ὦ ϲτόμα Δίρκαϲ,
ϲυνείποιτ' ἂν ἁ Κύπριϲ οἷον ἕρπει·

codd.: Ω = MBOA; V; Λ = CDELP

535 ἀλφεῶ P: -φειῶ(ι) ΩVΔL 537 ⟨αἴ'⟩ Hermann 541 κλη(ι)δ- BΛ et $^{1}\Sigma^{nb}$: κλειδ- ΩVD et $^{1}\Sigma^{v}$ et gE ϲεβάζομεν C et gE 542 πάϲαϲ BOAVC: πάϲηϲ Λ: πλεῖϲταϲ M 543–4 ἱέντα...θνατοὺϲ Dobree: ἰόντα...θνατοῖϲ codd. (θνα- BLP, θνη- ΩVΔ) 545 inter h.u. et 546 habebat A duo uu., priorem παρθένον τ' ἄπειρον γάμων (cf. $V^{gl}$ ἄπειρον γάμων, $B^{gl}$ παρθένον ἀπειρόγαμον), alterum fere xvi litt. nunc erasum; habebat ibidem V unum u. fere xiii litt. nunc erasum 549 ἀπ' Εὐρυτίων Buttmann: ἀπειρεϲίαν codd.: ἀπ' ut. uid. $^{1}\Sigma^{nbv}$, sed quid legerit pro ειρεϲίαν non apparet 552 φονίοιϲι νυμφείοιϲ Barrett: φονίοιϲ θ' ὑμεναίοιϲ fere codd. (φοινίοιϲ C; φονία P, -ίαν $P^c$) 553 ἐξέδωκεν BΛ: ἔδωκεν ΩV 554 τλάμων C, sicut coni. Heath: τλάμον MV: τλᾶμον BOAΛ 556 δίρκηϲ M⟨$L^?$⟩ (~ Tr) et $B^2$ 557 ϲυνείποιτ' BAΛ et $M^2$: -πετ' MOV 558 ἁ Κύπριϲ οἷον Monk: οἷον ἁ κ- fere codd. (οἷα $B^c$, οἷαν $B^?$; ἡ VD, om. C)

βρονταῖ γὰρ ἀμφιπύρωι
τοκάδα τὰν διγόνοιο Βάκ-
χου νυμφευcαμένα πότμωι
φονίωι κατηύναcεν.
δεινὰ γὰρ τὰ πάντ' ἐπιπνεῖ, μέλιccα δ' οἵ-
α τις πεπόταται.

Φα. cιγήcατ', ὦ γυναῖκες· ἐξειργάcμεθα.
Χο. τί δ' ἐcτί, Φαίδρα, δεινὸν ἐν δόμοιcί coι;
Φα. ἐπίcχετ', αὐδὴν τῶν ἔcωθεν ἐκμάθω.
Χο. cιγῶ· τὸ μέντοι φροίμιον κακὸν τόδε.
Φα. ἰώ μοι, αἰαῖ·
ὦ δυcτάλαινα τῶν ἐμῶν παθημάτων.
Χο. τίνα θροεῖc αὐδάν; τίνα βοᾶιc λόγον;
ἔνεπε, τίc φοβεῖ cε φήμα, γύναι,
φρέναc ἐπίccυτοc;
Φα. ἀπωλόμεcθα· ταῖcδ' ἐπιcτᾶcαι πύλαιc
ἀκούcαθ' οἷοc κέλαδοc ἐν δόμοιc πίτνει.
Χο. cὺ παρὰ κλῆιθρα, coὶ μέλει πομπίμα
φάτιc δωμάτων·
ἔνεπε δ' ἔνεπέ μοι, τί ποτ' ἔβα κακόν;
Φα. ὁ τῆc φιλίππου παῖc Ἀμαζόνοc βοᾶι
Ἱππόλυτοc, αὐδῶν δεινὰ πρόcπολον κακά.

codd.: $\Pi^5$(579–); Ω = MBOA; V; Λ = CDELP

560 διγόνοιο $^{\gamma\rho}\Sigma^{b}$, sicut coni. Scaliger: διογόνοιο codd. (δισο- C) 561 νυμφευcαμένα Kirchhoff: -μέναν codd. 562 κατηύν-] κατεύν- codd. 563 τὰ πάντ' Tr: πάντ' M: πάντα BDE: πάντα γ' fere OAV (γε A, γ OV: uide infra): πάντα τ' ⟨L⟩P: πάντ' ἐcτ' C ἐπιπνεῖ MBΛ et A$^2$: ἐπιπιτνεῖ A: (πάντα γ)ε πιτνεῖ OV οἵα VΛ̣: οἷά ΩC 564 πεπόταται BΛ: -τηται Ω̣V 566 coι Elmsley: coῖc ΩVΛ̣: om. E 567 ὡc μάθω V (-ηc V$^3$) et Tr 569 ἰώ μοι μοι BP (~ $^1\Sigma^{nbv}$) αἶ αἶ OLP: αἶ αἶ αἶ A: αἶ αἶ αἶ αἶ MBVΔ et Tr 572 βοὰν λόγου DE (~ Chr. Pat. 134) 573 ἔνεπε Aldina: ἔνν- codd. φάμα Monk 577 κλῆ(ι)θρα MBΛ et $^1\Sigma^{b}$: κλεῖθρα OAV et $^1\Sigma^{nv}$ 578 μέλλει MC 580 ἔνεπε δ' ἔνεπέ Ox: ενεπε̣[ $\Pi^5$: ἔννεπε δ' ἔννεπέ ΩVΛ





Χο. ἰὰν μὲν κλύω, cαφὲc δ' οὐκ ἔχω·
γεγώνει δ' οἷα διὰ πύλαc ἔμολεν
ἔμολέ coι βοά.
Φα. καὶ μὴν cαφῶc γε τὴν κακῶν προμνήcτριαν,
τὴν δεcπότου προδοῦcαν ἐξαυδᾶι λέχοc.
Χο. ὤμοι ἐγὼ κακῶν· προδέδοcαι, φίλα.
τί coι μήcομαι;
τὰ κρυπτὰ γὰρ πέφηνε, διὰ δ' ὄλλυcαι,
αἰαῖ ἒ ἔ, πρόδοτοc ἐκ φίλων.
Φα. ἀπώλεcέν μ' εἰποῦcα cυμφορὰc ἐμάc,
φίλωc καλῶc δ' οὐ τήνδ' ἰωμένη νόcον.
Χο. πῶc οὖν; τί δράcειc, ὦ παθοῦc' ἀμήχανα;
Φα. οὐκ οἶδα πλὴν ἕν, κατθανεῖν ὅcον τάχοc,
τῶν νῦν παρόντων πημάτων ἄκοc μόνον.

Ιπ. ὦ γαῖα μῆτερ ἡλίου τ' ἀναπτυχαί,
οἵων λόγων ἄρρητον εἰcήκουc' ὄπα.
Τρ. cίγηcον, ὦ παῖ, πρίν τιν' αἰcθέcθαι βοῆc.
Ιπ. οὐκ ἔcτ' ἀκούcαc δείν' ὅπωc cιγήcομαι.
Τρ. ναί, πρόc cε τῆcδε δεξιᾶc εὐωλένου.

codd.: $\Pi^5$(–604); Ω = MBOA; V; Λ = CDELP

584 ιαν $\Pi^5$, sicut coni. Weil: ἰωὰν $^{\gamma\rho}\Sigma^{nb}$: ἰαχὰν ΩVΛ 585 cαφῶc BO; [$\Pi^5$] 586 γεγώνει δ' Lloyd-Jones (JHS 85 [1965] 168): γεγωνεῖν ΩVΛ: γεγω[ $\Pi^5$ οἷα nescioquis ap. Valckenaer: ὅπα(ι) BΔ et A$^c$Tr et $\Sigma^{nb}$: ὅπα Ω̣VLP: [$\Pi^5$] 589$^n$ Φα. om. MO; [D] 591–2$^n$ φα. ante ὤμοι et χο. ante προδέδοcαι MO; [D] 593 μήcομαι ($\Pi^5$)BΛ et V$^3$ et $^1\Sigma^{n}$: μνήc- A: μητίc- MOV et A$^2$ 594 κ]ρ̣υπτα[ (non κ]ρ̣υπτ'α[) $\Pi^5$; κρύπτ' ἀμπέφηνε Weil (ἐκπέφηνε Barthold); cf. Studies 19 595 interiectiones choro contin. C: Phaedrae trib. $\Pi^5$ΩVELP: [D] αἶ αἶ ἔ ἔ fere MALP: αἶ αἶ fere OV: ἔ ἔ uel ἒ ἔ $\Pi^5$BΔ 597 φίλωc $\Pi^5$OA⟨L⟩P: φίλωc μὲν MBVΔ et Tr (etiam οὐ καλῶc Tr) et $^1\Sigma^{nbv}$ et gE ακαλωc $\Pi^{5?}$ (~ gE) δ' om. $\Pi^5$ (~ $\Pi^5$ man. sec. et gE) 598 πῶc οὖν] τί γοῦν Chr. Pat. 610, 1830 (~ gE); τί οὖν Kirchhoff ποθοῦc' LP (~ Tr et gE et Chr. Pat.); [$\Pi^5$] 602 οἷον λόγον Tr$^{uv}$ et gB; οἵω[ν in οἷο[ν uel uersa uice mutatum $\Pi^{5uv}$; (~ gE et Chr. Pat. 268) 605 τῆcδε V: τῆc C: τῆc cῆc $\Pi^5$ΩΛ̣ δεξιᾶc τ' B et L$^c$

Ἱπ. οὐ μὴ προϲοίϲειϲ χεῖρα μηδ᾽ ἅψηι πέπλων;
Τρ. ὦ πρόϲ ϲε γονάτων, μηδαμῶϲ μ᾽ ἐξεργάϲηι.
Ἱπ. τί δ᾽, εἴπερ, ὡϲ φήιϲ, μηδὲν εἴρηκαϲ κακόν;
Τρ. ὁ μῦθοϲ, ὦ παῖ, κοινὸϲ οὐδαμῶϲ ὅδε.
Ἱπ. τά τοι κάλ᾽ ἐν πολλοῖϲι κάλλιον λέγειν.
Τρ. ὦ τέκνον, ὅρκουϲ μηδαμῶϲ ἀτιμάϲηιϲ.
Ἱπ. ἡ γλῶϲϲ᾽ ὀμώμοχ᾽, ἡ δὲ φρὴν ἀνώμοτοϲ.
Τρ. ὦ παῖ, τί δράϲειϲ; ϲοὺϲ φίλουϲ διεργάϲηι;
Ἱπ. ἀπέπτυϲ᾽· οὐδεὶϲ ἄδικόϲ ἐϲτί μοι φίλοϲ.
Τρ. ϲύγγνωθ᾽· ἁμαρτεῖν εἰκὸϲ ἀνθρώπουϲ, τέκνον.
Ἱπ. ὦ Ζεῦ, τί δὴ κίβδηλον ἀνθρώποιϲ κακὸν
γυναῖκαϲ ἐϲ φῶϲ ἡλίου κατώικιϲαϲ;
εἰ γὰρ βρότειον ἤθελεϲ ϲπεῖραι γένοϲ,
οὐκ ἐκ γυναικῶν χρῆν παραϲχέϲθαι τόδε,
ἀλλ᾽ ἀντιθένταϲ ϲοῖϲιν ἐν ναοῖϲ βροτοὺϲ
ἢ χαλκὸν ἢ ϲίδηρον ἢ χρυϲοῦ βάροϲ
παίδων πρίαϲθαι ϲπέρμα του τιμήματοϲ,
τῆϲ ἀξίαϲ ἕκαϲτον, ἐν δὲ δώμαϲιν
ναίειν ἐλευθέροιϲι θηλειῶν ἄτερ.
[νῦν δ᾽ ἐϲ δόμουϲ μὲν πρῶτον ἄξεϲθαι κακὸν
μέλλοντεϲ ὄλβον δωμάτων ἐκτίνομεν.]
τούτωι δὲ δῆλον ὡϲ γυνὴ κακὸν μέγα·
προϲθεὶϲ γὰρ ὁ ϲπείραϲ τε καὶ θρέψαϲ πατὴρ

codd.: $\Pi^{6}$(616–24); Ω = MBOA; V; Λ = CDELP

606 προϲοίϲειϲ VEP et $^{1}\Sigma^{\mathrm{nv}}$: -οίϲη(ι)ϲ ΩCDL et $E^{s}$: -οίϲηι B et $^{1}\Sigma^{\mathrm{b}}$ 607 μ᾽ om. BO 610 τοι] τε OC et gE (~ gV) 614 ἔϲται ELP (~ gVgE) 616 δὴ om. CE et gE (~ gVgB et Stob. 4. 22. 189) 619 χρη π- τεκνα $\Pi^{6}$ (~ gB et Stob.) 620 ἀντ-] ἐντ- $\Pi^{6}$ et Stob. codd. ATr (~ gB et Stob. cod. S) -ταϲ ϲοῖϲιν] -ταϲ ϲοῖϲ DE; -ταϲοιϲιν $\Pi^{6}$; (~ gB et Stob.) 621 χαλκὸν ... χρυϲοῦ BΛ (-ϲὸν C) et gB et Stob.: χρυϲὸν ... χαλκοῦ $\Pi^{6}$ΩV (-κοῦν A) et $^{1}\Sigma^{\mathrm{nbv}}$ 622 του Stinton (JHS 97 [1977] 141–2): τοῦ codd. (ambiguum $\Pi^{6}$) 625–6 del. Nauck 625 ἐϲ $^{1}\Sigma^{\mathrm{b}}$: εἰϲ codd. ἄξεϲθαι ACP et gE: ἄ*ξεϲθαι VL: ἄξαϲθαι MBODE et $V^{3}$ 626 ἐκτείνομεν MP (~ gE) 627 τοῦτο MP (~ $M^{2}P^{c}$ et gE) 628 καὶ θρέψαϲ MAVLP: κἀκθρέψαϲ BOΔ et (cum θρέψαϲ pro ϲπείραϲ) gE





φερνὰϲ ἀπώικιϲ᾽, ὡϲ ἀπαλλαχθῆι κακοῦ.
ὁ δ᾽ αὖ λαβὼν ἀτηρὸν ἐϲ δόμουϲ φυτὸν
γέγηθε κόϲμον προϲτιθεὶϲ ἀγάλματι
καλὸν κακίϲτωι καὶ πέπλοιϲιν ἐκπονεῖ
δύϲτηνοϲ, ὄλβον δωμάτων ὑπεξελών.
[ἔχει δ᾽ ἀνάγκην· ὥϲτε κηδεύϲαϲ καλῶϲ
γαμβροῖϲι χαίρων ϲώιζεται πικρὸν λέχοϲ,
ἢ χρηϲτὰ λέκτρα πενθεροὺϲ δ᾽ ἀνωφελεῖϲ
λαβὼν πιέζει τἀγαθῶι τὸ δυϲτυχέϲ.]
ῥᾶιϲτον δ᾽ ὅτωι τὸ μηδέν· ἀλλ᾽ ἀνωφελὴϲ
εὐηθίαι κατ᾽ οἶκον ἵδρυται γυνή.
ϲοφὴν δὲ μιϲῶ· μὴ γὰρ ἔν γ᾽ ἐμοῖϲ δόμοιϲ
εἴη φρονοῦϲα πλείον᾽ ἢ γυναῖκα χρή.
τὸ γὰρ κακοῦργον μᾶλλον ἐντίκτει Κύπριϲ
ἐν ταῖϲ ϲοφαῖϲιν· ἡ δ᾽ ἀμήχανοϲ γυνὴ
γνώμηι βραχείαι μωρίαν ἀφηιρέθη.
χρῆν δ᾽ ἐϲ γυναῖκα πρόϲπολον μὲν οὐ περᾶν,
ἄφθογγα δ᾽ αὐταῖϲ ϲυγκατοικίζειν δάκη
θηρῶν, ἵν᾽ εἶχον μήτε προϲφωνεῖν τινα
μήτ᾽ ἐξ ἐκείνων φθέγμα δέξαϲθαι πάλιν.
νῦν δ᾽ †αἱ μὲν ἔνδον δρῶϲιν αἱ κακαὶ† κακὰ
βουλεύματ᾽, ἔξω δ᾽ ἐκφέρουϲι πρόϲπολοι.
ὡϲ καὶ ϲύ γ᾽ ἡμῖν πατρόϲ, ὦ κακὸν κάρα,
λέκτρων ἀθίκτων ἦλθεϲ ἐϲ ϲυναλλαγάϲ·
ἁγὼ ῥυτοῖϲ ναϲμοῖϲιν ἐξομόρξομαι

codd.: Ω = MBOA; V; Λ = CDELP

630 ἐν δόμοιϲ $M^{\gamma\rho}$ (~ gE) φυτὸν Ω et $V^{3\gamma\rho}$: κακὸν OVΛ et $M^{\gamma\rho}$ et gE 634–7 del. Barthold 634 καλῶϲ Kirchhoff: καλοῖϲ codd. et Eust. in Il. p. 572. 44 639 οἶκον ΩVP et $L^{c}$: οἴκουϲ Δ⟨L?⟩ 641 πλείον᾽ PvOxNvHn²: πλεῖον codd. (πλέον O) et gVgE χρή Ω et gV: χρήν V: χρῆν BΛ et gE 642 κακοῦργον ΩVC et $^{1}\Sigma^{\mathrm{v}}$ et $\Sigma^{\mathrm{bv}}$ et gVgE: πανοῦργον Λ et $V^{\gamma\rho}$ et $^{1}\Sigma^{\mathrm{b}}$ et $\Sigma^{\mathrm{men}}$ 645 χρῆν Λ et $^{1}\Sigma^{\mathrm{n}}$ et $^{1}\Sigma^{\mathrm{nbv}}$ et gE: χρὴν VC et $^{1}\Sigma^{\mathrm{v}}$: χρὴ Ω et $^{1}\Sigma^{\mathrm{b}}$ γυναῖκα MA: -καϲ BOVΛ et $^{1}\Sigma^{\mathrm{nbv}}$ et gE 647 μήτε ΩV: μηδὲ Λ et gE 649 om. LP (~ gE) ἔνδον om. V (~ $^{1}\Sigma^{\mathrm{v}}$ et $V^{2}$ et gE) δ᾽ αἱ μὲν ἐννοοῦϲιν Wecklein, δ᾽ ἔνδον ἐννοοῦϲιν Heiland 651 ὡϲ ΩVCE et Tr et $^{1}\Sigma^{\mathrm{nv}}$ et gE: εἰ LP et $^{\gamma\rho}\Sigma^{\mathrm{b}}$: om. D

ἐς ὦτα κλύζων. πῶς ἂν οὖν εἴην κακός,
ὃς οὐδ' ἀκούσας τοιάδ' ἁγνεύειν δοκῶ;
εὖ δ' ἴσθι, τοὐμόν σ' εὐσεβὲς σῴζει, γύναι·
εἰ μὴ γὰρ ὅρκοις θεῶν ἄφαρκτος ᾑρέθην,
οὐκ ἄν ποτ' ἔσχον μὴ οὐ τάδ' ἐξειπεῖν πατρί.
νῦν δ' ἐκ δόμων μέν, ἔστ' ἂν ἐκδημῆι χθονὸς
Θησεύς, ἄπειμι, σῖγα δ' ἕξομεν στόμα·
θεάσομαι δὲ σὺν πατρὸς μολὼν ποδὶ
πῶς νιν προσόψηι, καὶ σὺ καὶ δέσποινα σή.
[τῆς σῆς δὲ τόλμης εἴσομαι γεγευμένος.]
ὄλοισθε. μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι
γυναῖκας, οὐδ' εἴ φησί τίς μ' ἀεὶ λέγειν·
ἀεὶ γὰρ οὖν πώς εἰσι κἀκεῖναι κακαί.
ἢ νύν τις αὐτὰς σωφρονεῖν διδαξάτω
ἢ κἄμ' ἐάτω ταῖσδ' ἐπεμβαίνειν ἀεί.

Φα. τάλανες ὦ κακοτυχεῖς [ἀντ.
γυναικῶν πότμοι·
τίν' ἢ νῦν τέχναν ἔχομεν ἢ λόγον
σφαλεῖσαι κάθαμμα λύειν λόγου;

codd.: $\Pi^{7}$(664–8); Ω = MBOA; V; Λ = C(–659)DELP

656 σώζειν V 657 ἄφαρκτος Dindorf: ἄφρακτος codd. (εὔφ- E) ᾑρέθην Pierson (cl. $\Sigma^{nbv}$ ἐλήφθην): εὑρέθην codd. 658 ἔσχον OAΛ et (Chr. Pat. 203): ἐπέσχον MBV οὐ ΩV: om. OΛ et Chr. Pat. πατρί] κακά M (~ $M^{\gamma\rho}$) 659 ἐκδημῇ D et $B^{2}$, sicut coni. Hermann: ἔκδημος ΩVΛ 660 ἕξομαι BE et $^{1}\Sigma^{n}$ 663 quem in suspicionem uocauit Herwerden del. Barrett 664–8 in suspicionem uocauit Valckenaer: certe ex Hippolyti sententia (79 seqq.) σωφροσύνη non discendo capitur 666 οὖν πως] οὕτως Stob. 4. 22. 138 (~ gV) $669^{n}$ φα. A et in ras. B: χο. (et $672^{n}$ φα.) MOVELP: [D] 669 τάλανες $A^{c}L^{c}$ et $^{1}\Sigma^{n}$: τάλαινες codd. et $^{1}\Sigma^{bv}$ 670 τίν' ἢ νῦν Page, Conomis (Hermes 92 [1964] 36): τίνα νῦν ἢ Λ et $\Sigma^{nbv}$: τίνα νῦν ΩV et $B^{1c}L^{c}$ et $^{1}\Sigma^{bv}$: τίνας νῦν ⟨$B^{?}$⟩ et $B^{s}$ τέχνας ⟨$B^{?}$⟩ et $B^{s}$ (~ $B^{1c}$) λόγον ⟨$B^{?}$⟩OΛ et $B^{s}V^{3}$ et $\Sigma^{nbv}$: λόγους MAV et $B^{1c}$Tr 671 κάθαμμα $^{1}\Sigma^{nbv(1)}$: καθ' ἅμμα OAVDP et $^{1}\Sigma^{nbv}$ et $^{1}\Sigma^{nbv(2)}$ et $B^{2}$Tr: καθ' ἅμα BEL$^{?}$: κάθμα M: καθάπαξ $V^{3}$ λύειν Musgrave: λύσιν OΛ et $B^{2}V^{3}$ et $^{1}\Sigma^{n}$: λύσειν ΩV (-σσ- $M^{?}$, -σ- $M^{2?}$) et $E^{s}$Tr et $^{1}\Sigma^{v}$ λόγου BOAΛ et $^{1}\Sigma^{nbv(1)}$ (τῶν ἐγκλημάτων): λόγους MV et $^{1}\Sigma^{v}$ et $^{1}\Sigma^{nbv(2)}$: λόγων $B^{1c}$





ἐτύχομεν δίκας. ἰὼ γᾶ καὶ φῶς·
πᾶι ποτ' ἐξαλύξω τύχας;
πῶς δὲ πῆμα κρύψω, φίλαι;
τίς ἂν θεῶν ἀρωγὸς ἢ τίς ἂν βροτῶν
πάρεδρος ἢ ξυνεργὸς ἀδίκων ἔργων
φανείη; τὸ γὰρ παρ' ἡμῖν πάθος
πέραν δυσεκπέρατον ἔρχεται βίου.
κακοτυχεστάτα γυναικῶν ἐγώ.

Χο. φεῦ φεῦ, πέπρακται, κοὐ κατώρθωνται τέχναι,
δέσποινα, τῆς σῆς προσπόλου, κακῶς δ' ἔχει.
Φα. ὦ παγκακίστη καὶ φίλων διαφθορεῦ,
οἷ' εἰργάσω με. Ζεύς σε γεννήτωρ ἐμὸς
πρόρριζον ἐκτρίψειεν οὐτάσας πυρί.
οὐκ εἶπον, οὐ σῆς προυνοησάμην φρενός,
σιγᾶν ἐφ' οἷσι νῦν ἐγὼ κακύνομαι;
σὺ δ' οὐκ ἀνέσχου· τοιγὰρ οὐκέτ' εὐκλεεῖς
θανούμεθ'. ἀλλὰ δεῖ με δὴ καινῶν λόγων·
οὗτος γὰρ ὀργῆι συντεθηγμένος φρένας
ἐρεῖ καθ' ἡμῶν πατρὶ σὰς ἁμαρτίας,
ἐρεῖ δὲ Πιτθεῖ τῶι γέροντι συμφοράς,
πλήσει τε πᾶσαν γαῖαν αἰσχίστων λόγων.
ὄλοιο καὶ σὺ χὤστις ἄκοντας φίλους
πρόθυμός ἐστι μὴ καλῶς εὐεργετεῖν.

codd.: Ω = MBOA; V; Λ = C(688–)DELP

672 ἔτυχον LP ἰὼ Heath: ὦ codd. 673 πᾶι] πῶ D, πώ E 674 πῆμα hoc loco ΩV: post φίλαι BΛ 675 ἂν βροτῶν VΛ: ἀνθρώπων Ω 678 πέραν Wilamowitz: παρὸν codd. δυσεκπέρατον BAΛ: -αντον MOV: -αστον E βίον $A^{s}$; -ου in -ον aut -ον in -ου mut. $L^{c}$ 680 κατώρθ- BOLP et $A^{c}$: κατόρθ- MAVDE -ωνται τέχναι] -ωται τέχνη A et $\Sigma^{bv}$ (~ $^{1}\Sigma^{bv}$); -ωται τέχνης V (~ $V^{2}$); -ωται τέχναι $M^{2}$ 682 διαφθορὰ E et Tr 683 Ζεύς·σε Wolff: ζεύς σ' ὁ ΩE et Tr: ζεύς' ὁ V: ζεὺς ὁ DLP 688 δεῖ με δὴ ΩELP et $O^{c}$: δεῖ με δεῖ O: δεῖ μοι δεῖ V: δεῖ CD 689 συντεθηγμένας MC (~ gE) 690 σὰς ΩΔ et $B^{s}V^{3\gamma\rho}$ (cf. Chr. Pat. 209): τὰς BVLP 691 quem om. A del. Brunck πιτθεῖ om. CD (~ $C^{2}$) 692 τε BVΛ et gE et Chr. Pat. 213, 965: δὲ Ω γαῖαν πᾶσαν C; πᾶσαν αἶαν O; (~ gE et Chr. Pat.)

*Τρ.* δέcποιν', ἔχειc μὲν τἀμὰ μέμψαcθαι κακά,
τὸ γὰρ δάκνον cου τὴν διάγνωcιν κρατεῖ·
ἔχω δὲ κἀγὼ πρὸc τάδ', εἰ δέξῃ, λέγειν.
ἔθρεψά c' εὔνουc τ' εἰμί· τῆc νόcου δέ coι
ζητοῦcα φάρμαχ' ηὗρον οὐχ ἁβουλόμην.
εἰ δ' εὖ γ' ἔπραξα, κάρτ' ἂν ἐν coφοῖcιν ἦ·
πρὸc τὰc τύχαc γὰρ τὰc φρέναc κεκτήμεθα.
*Φα.* ἦ γὰρ δίκαια ταῦτα κἀξαρκοῦντά μοι,
τρώcαcαν ἡμᾶc εἶτα cυγχωρεῖν λόγοιc;
*Τρ.* μακρηγοροῦμεν· οὐκ ἐcωφρόνουν ἐγώ.
ἀλλ' ἔcτι κἀκ τῶνδ' ὥcτε cωθῆναι, τέκνον.
*Φα.* παῦcαι λέγουcα· καὶ τὰ πρὶν γὰρ οὐ καλῶc
παρῄνεcάc μοι κἀπεχείρηcαc κακά.
ἀλλ' ἐκποδὼν ἄπελθε καὶ cαυτῆc πέρι
φρόντιζ'· ἐγὼ δὲ τἀμὰ θήcομαι καλῶc.
ὑμεῖc δέ, παῖδεc εὐγενεῖc Τροζήνιαι,
τοcόνδε μοι παράcχετ' ἐξαιτουμένῃ·
cιγῇ καλύψαθ' ἁνθάδ' εἰcηκούcατε.
*Χο.* ὄμνυμι cεμνὴν Ἄρτεμιν, Διὸc κόρην,
μηδὲν κακῶν cῶν ἐc φάοc δείξειν ποτέ.
*Φα.* καλῶc ἐλέξαθ'· ἓν δὲ †προτρέπουc' ἐγὼ†
εὕρημα δή τι τῆcδε cυμφορᾶc ἔχω
ὥcτ' εὐκλεᾶ μὲν παιcὶ προcθεῖναι βίον
αὐτή τ' ὄναcθαι πρὸc τὰ νῦν πεπτωκότα.
οὐ γάρ ποτ' αἰcχυνῶ γε Κρηcίουc δόμουc

codd.: Ω = MBOA; V; Λ = CDELP

699 -λόμην] -λοίμην C et gE  700 κάρτα γ' ἐν A  ἦ Nauck: ἦν codd.  701 γὰρ] δὲ C et gE et Philoponus in Arist. de an. p. 486 (~ gV et Stob. 1. 7. 7b)  702 γὰρ BVΛ: καὶ M?OA  703 λόγουc MO (~ $M^2$)  709 δὲ ΩV (cf. Chr. Pat. 230): γὰρ BΛ  712 καλύψαθ' LP: καλύπτειν ΩV: καλύψειν BΔ et $V^s$  714 ἐc P: εἰc ΩVΔL  δεῖξαι O  715 ἔλεξαc O et $V^3$  προτρέπουc' ΩVEP et Tr et $^1\Sigma^{nbv}$: προcτρέπουc' D⟨L⟩ et $B^c$: πρέπουc' C: πρὸc τούτοιc (cum ἐρῶ) Barrett, fort. recte  ἐγὼ] ἐρῶ Hadley  716 δή τι BΛ: δῆτα ΩV  719 κρηcίου LP





οὐδ' ἐc πρόcωπον Θηcέωc ἀφίξομαι
αἰcχροῖc ἐπ' ἔργοιc οὕνεκα ψυχῆc μιᾶc.
*Χο.* μέλλειc δὲ δὴ τί δρᾶν ἀνήκεcτον κακόν;
*Φα.* θανεῖν· ὅπωc δέ, τοῦτ' ἐγὼ βουλεύcομαι.
*Χο.* εὔφημοc ἴcθι. *Φα.* καὶ cύ γ' εὖ με νουθέτει.
ἐγὼ δὲ Κύπριν, ἥπερ ἐξόλλυcί με,
ψυχῆc ἀπαλλαχθεῖcα τῇδ' ἐν ἡμέραι
τέρψω· πικροῦ δ' ἔρωτοc ἡccηθήcομαι.
ἀτὰρ κακόν γε χἀτέρωι γενήcομαι
θανοῦc', ἵν' εἰδῆι μὴ 'πὶ τοῖc ἐμοῖc κακοῖc
ὑψηλὸc εἶναι· τῆc νόcου δὲ τῆcδέ μοι
κοινῆι μεταcχὼν cωφρονεῖν μαθήcεται.

*Χο.* ἠλιβάτοιc ὑπὸ κευθμῶcι γενοίμαν, [cτρ. α
ἵνα με πτεροῦccαν ὄρνιν
θεὸc ἐν ποταναῖc
ἀγέλαιc θείη·
ἀρθείην δ' ἐπὶ πόντιον
κῦμα τᾶc Ἀδριηνᾶc
ἀκτᾶc Ἠριδανοῦ θ' ὕδωρ,
ἔνθα πορφύρεον cταλάc-
couc' ἐc οἶδμα τάλαιναι
κόραι Φαέθοντοc οἴκτωι δακρύων
τὰc ἠλεκτροφαεῖc αὐγάc·

codd.: Ω = MBOA; V; Λ = CDELP

722 δὴ τί Λ: δή τι MBOV: τί AC  723 δὲ τοῦτ' ἐγὼ ΩVC (γε C): δ' ἐγὼ τοῦτο Λ  728 αὐτὰρ CE  γε ΩV et $^1\Sigma^{nbv}$ et $B^2L^c$: τε C: δὲ BΛ  χ' ἀτέρω(ι) BΛ et $^1\Sigma^n$: θ' ἀτέρω(ι) ΩVC (θατ- AC et $V^2$)  733 πτεροῦccαν $V^3$: -οῦcαν codd. et gB  734 ποταναῖcιν L (~ gB)  ἀγέλαιc Musgrave: -αιcι BOAVP et Tr et gB: -η(ι)cι MΔL  736 κῦμα BOVΛ et gB: κῦμα κῦμα MAC  τᾶc BOVΛ et $A^c$ et gB: τῆc MAC  738 πορφύριον CP (~ gB)  cταλάccουc' Barnes: -άccουcιν ΩVΔP et $L^c$: -á***cι L (fort. -άcουcι): -άcουcιν gB  739 ἐc DL: εἰc ΩVEP: om. C  οἶδμα Barthold: οἶδμα πατρὸc codd. et gB  τάλαιναι τάλαιναι MC (~ gB)  740 κόραι BΛ et gB: κοῦραι ΩC: κούραι V

Ἑσπερίδων δ' ἐπὶ μηλόσπορον ἀκτὰν [ἀντ. α
ἀνύσαιμι τᾶν ἀοιδῶν,
ἵν' ὁ πορφυρέας πον-
τομέδων λίμνας
ναύταις οὐκέθ' ὁδὸν νέμει,
σεμνὸν τέρμονα κυρῶν
οὐρανοῦ, τὸν Ἄτλας ἔχει,
κρῆναί τ' ἀμβρόσιαι χέον-
ται Ζηνὸς παρὰ κοίταις,
ἵν' ὀλβιόδωρος αὔξει ζαθέα
χθὼν εὐδαιμονίαν θεοῖς.

ὦ λευκόπτερε Κρησία [στρ. β
πορθμίς, ἃ διὰ πόντιον
κῦμ' ἀλίκτυπον ἅλμας
ἐπόρευσας ἐμὰν ἄνασσαν ὀλβίων ἀπ' οἴκων
κακονυμφοτάταν ὄνασιν·
ἦ γὰρ ἀπ' ἀμφοτέρων οἱ Κρησίας ⟨τ'⟩ ἐκ γᾶς
δυσόρνις
ἔπτατο κλεινὰς Ἀθήνας Μουνίχου τ' ἀ-
κταῖσιν ἐκδήσαντο πλεκτὰς πεισμάτων ἀρ-
χὰς ἐπ' ἀπείρου τε γᾶς ἔβασαν.

codd.: Ω = MBOA; V; Λ = CDELP

743 τᾶν BAVLP: τὰν MOΔ  ἀοιδῶν LP et $\Sigma^{nb}$: -δᾶν BOAVD: -δὰν MCE et $^{1}\Sigma^{v}$: et -δᾶν et -δὰν Tr  744 πορφυρέας ποντομέδων Maas: ποντ- πορφ- codd.  745 νέμει BAVΛ: νέμειν D: νέμοι MO  746 κυρῶν DLP et $B^{2}V^{\gamma\rho}$: ναίων ΩVE: γυιῶν C: κραίνων Wecklein (cf. Hec. 219 κρανθεῖσαν] κυρωθεῖσαν $M^{gl}O^{gl}$)  749 Ζηνὸς Barthold: ζηνὸς μελάθρων codd.  κοίταις BOAVDE⟨L⟩P et $M^{2}$: -τας MC et Tr: incertum quid uoluerit $\Sigma^{nbv}$ (ἐκ τῶν κοιτῶν τῶν οἴκων τοῦ Διός)  750 ἵν' ὀλβιόδωρος fere MBOVΛ (ἵν' BOVDE et Tr, ἵνα MC⟨L⟩P): ἵνα βιόδωρος A et $^{1}\Sigma^{bv}$: ἵν' ἁ βιόδωρος Valckenaer  758 ἦ MBOΛ et $^{1}\Sigma^{nb}$ et $^{1}\Sigma^{nbv}$: ἢ V et $C^{2}$ et $^{1}\Sigma^{v}$: ἣ AC  759 οἱ Willink: ἡ $B^{?}$OCD⟨L⟩P et Tr et $\Sigma^{m}$: ἢ AVE et $B^{2?}$: [M]: δὴ Weil  ⟨τ'⟩ Weil  760 ἔπτατο Λ: ἔπτατ' ἐπὶ ΩV: ἔπτατ' ἐς Seidler  761 Μουνίχου Weil (Μουνύχου iam Hermann): μουνιχίου L: μουνυχίου fere ΩVΔP  τ' Weil: δ' codd. ἀκταῖσιν Ω: ἐπ' ἀκταῖσιν VΛ





ἀνθ' ὧν οὐχ ὁσίων ἐρώ- [ἀντ. β
των δεινᾶι φρένας Ἀφροδί-
τας νόσωι κατεκλάσθη·
χαλεπᾶι δ' ὑπέραντλος οὖσα συμφορᾶι τεράμνων
ἄπο νυμφιδίων κρεμαστὸν
ἅψεται ἀμφὶ βρόχον λευκᾶι καθαρμόζουσα δειρᾶι,
δαίμονα στυγνὸν καταιδεσθεῖσα τάν τ' εὔ-
δοξον ἀνθαιρουμένα φήμαν ἀπαλλάσ-
σουσά τ' ἀλγεινὸν φρενῶν ἔρωτα.

Τρ. (ἔσωθεν)
ἰοὺ ἰού·
βοηδρομεῖτε πάντες οἱ πέλας δόμων·
ἐν ἀγχόναις δέσποινα, Θησέως δάμαρ.
Χο. φεῦ φεῦ, πέπρακται· βασιλὶς οὐκέτ' ἔστι δὴ
γυνή, κρεμαστοῖς ἐν βρόχοις ἠρτημένη.
Τρ. οὐ σπεύσετ'; οὐκ οἴσει τις ἀμφιδέξιον
σίδηρον, ὧι τόδ' ἅμμα λύσομεν δέρης;
Χο. φίλαι, τί δρῶμεν; ἦ δοκεῖ περᾶν δόμους
λῦσαί τ' ἄνασσαν ἐξ ἐπισπαστῶν βρόχων;
— τί δ'; οὐ πάρεισι πρόσπολοι νεανίαι;
τὸ πολλὰ πράσσειν οὐκ ἐν ἀσφαλεῖ βίου.

codd.: Ω = MBOA; V; Λ = CDELP

765 δεινᾶ(ι) ΩVC et $E^{c}$: -νὰ Λ  770 ἅψεται ΩV et (ἅ- β- ἀμφὶ) Tr: ἅψετ' ΔP et $^{1}\Sigma^{n}$: ἅψ*τ' L (fort. -η-)  771 δειρᾶ(ι) Markland: δέρα(ι) codd. (-ρῃ M et $E^{s}$)  772 στυγνᾶν M  773 τ' om. M ἔνδοξον DE  774 ἀνθαιρουμέναν $MP^{?}$ (~ $P^{c?}$)  φήμαν MΛ (-ην C): φάμαν BOAV  775 φρενῶν ἔρωτα φρεσίν M; φρεσὶν ἔρωτα O $776^{n}$ (ante ἰοὺ ἰού) τροφός $O^{2}$: θεράπαινα Λ: ἄγγελος MBO: ἐξάγγελος AV et $B^{2}$: et τρ. et ἐξάγ. agnoscit $\Sigma^{nbv}$  (ante βοηδρομεῖτε) nullam notam BOAΛ: τρ. MV  776 δόμων ΩVL et $B^{2}$ et gB: δρόμω(ι) DEP et $B^{\gamma\rho}$ Tr: δρόμον C: δρόμων B  $778^{n}$ τρ. A  778 πέπρακται om. DE $780^{n}$ τρ. MV: ἄγ. BΛ: ἡμιχόριον O: om. A  781 ἅμα CD  $782^{n}$ χο. VΛ: ἡμιχ. ΩD: om. O  782 ἦ ADEP et Tr: ἢ MBOVC: [L] $784^{n}$ ἡμιχ. MBVΛ: ἕτερον ἡμιχ. A: om. O  785 τὸ] τὰ M⟨L⟩P et App. prou. Vat. 4. 83 (~ $L^{c}$ et gV et Macarius 8. 48)  πράσσειν Λ et gV: πράττειν ΩV et Mac. et App. prou.

Τρ. ὀρθώϲατ' ἐκτείναντεϲ ἄθλιον νέκυν·
πικρὸν τόδ' οἰκούρημα δεϲπόταιϲ ἐμοῖϲ.
Χο. ὄλωλεν ἡ δύϲτηνοϲ, ὡϲ κλύω, γυνή·
ἤδη γὰρ ὡϲ νεκρόν νιν ἐκτείνουϲι δή.

ΘΗϹΕΥϹ
γυναῖκεϲ, ἴϲτε τίϲ ποτ' ἐν δόμοιϲ βοὴ
†ἠχὼ βαρεῖα προϲπόλων† ἀφίκετο;
οὐ γάρ τί μ' ὡϲ θεωρὸν ἀξιοῖ δόμοϲ
πύλαϲ ἀνοίξαϲ εὐφρόνωϲ προϲεννέπειν.
μῶν Πιτθέωϲ τι γῆραϲ εἴργαϲται νέον;
πρόϲω μὲν ἤδη βίοτοϲ, ἀλλ' ὅμωϲ ἔτ' ἂν
λυπηρὸϲ ἡμῖν τούϲδ' ἂν ἐκλίποι δόμουϲ.
Χο. οὐκ ἐϲ γέρονταϲ ἥδε ϲοι τείνει τύχη,
Θηϲεῦ· νέοι θανόντεϲ ἀλγύνουϲί ϲε.
Θη. οἴμοι, τέκνων μοι μή τι ϲυλᾶται βίοϲ;
Χο. ζῶϲιν, θανούϲηϲ μητρὸϲ ὡϲ ἄλγιϲτά ϲοι.
Θη. τί φήιϲ; ὄλωλεν ἄλοχοϲ; ἐκ τίνοϲ τύχηϲ;
Χο. βρόχον κρεμαϲτὸν ἀγχόνηϲ ἀνήψατο.
Θη. λύπηι παχνωθεῖϲ' ἢ ἀπὸ ϲυμφορᾶϲ τίνοϲ;
Χο. τοϲοῦτον ἴϲμεν· ἄρτι γὰρ κἀγὼ δόμουϲ,
Θηϲεῦ, πάρειμι ϲῶν κακῶν πενθήτρια.
Θη. αἰαῖ, τί δῆτα τοῖϲδ' ἀνέϲτεμμαι κάρα
πλεκτοῖϲι φύλλοιϲ, δυϲτυχὴϲ θεωρὸϲ ὤν;

codd.: Ω = MBOA; V; Λ = CDELP

786$^{n}$ τρ. MOV: ἄγ. BΛ: om. A     786 ἐκτείναντεϲ Ω̣VE et fere Chr. Pat. 1476: -νοντεϲ BΛ̣ et Chr. Pat. cod. A     νέκυν ΩV: νεκρόν Λ     788 ὤλωλεν CD     791 ἠχὼ βαρεία MP$^{ac?}$; ἠχοῖ βαρείαι Musgrave     προϲπόλων μ' Markland, διὰ πύλαϲ e.g. Barrett     u. del. Barthold     793 πύλαϲ BVΛ et A$^{s}$: -λαιϲ Ω̣ et V$^{3}$     ἀνοίξαντ' OE; -ξαϲ τ' A     795 ἔτ' BOALP et V$^{3}$: ἔϲτ' MVΔ et gE     796 ἐκλίποι BVΔL: -πη(ι) Ω̣P et gE     798 ἀλγύνουϲί AC et gE: ἀλγυνοῦϲί MBOVΛ̣ (-γειν- V)     799 οἴμοι BΛ: ὤμοι Ω̣V (ὤιμ- OA)     μοι] μου D; om. C; (~ $^{1}Σ^{n}$)     800 θανοῦϲι LP (~ L$^{c}$)     803 ἢ 'πὸ ALP; ὑπὸ (om. ἢ) gB     τίνοϲ M et gB: τινόϲ BOAVΛ et gB$^{c}$     804 δόμουϲ AΛ: δόμοιϲ MBOV et A$^{2}$





χαλᾶτε κλῆιθρα, πρόϲπολοι, πυλωμάτων,
ἐκλύεθ' ἁρμούϲ, ὡϲ ἴδω πικρὰν θέαν
γυναικόϲ, ἥ με κατθανοῦϲ' ἀπώλεϲεν.

Χο. ἰὼ ἰὼ τάλαινα μελέων κακῶν·
ἔπαθεϲ, εἰργάϲω
τοϲοῦτον ὥϲτε τούϲδε ϲυγχέαι δόμουϲ,
αἰαῖ τόλμαϲ,
βιαίωϲ θανοῦϲ' ἀνοϲίωι τε ϲυμ-
φορᾶι, ϲᾶϲ χερὸϲ πάλαιϲμα μελέαϲ.
τίϲ ἄρα ϲάν, τάλαιν', ἀμαυροῖ ζόαν;

Θη. ὤμοι ἐγὼ πόνων· ἔπαθον, ὦ τάλαϲ, [ϲτρ.
τὰ μάκιϲτ' ἐμῶν κακῶν. ὦ τύχα,
ὥϲ μοι βαρεῖα καὶ δόμοιϲ ἐπεϲτάθηϲ,
κηλὶϲ ἄφραϲτοϲ ἐξ ἀλαϲτόρων τινόϲ·
κατακονὰ μὲν οὖν ἀβίοτοϲ βίου.
κακῶν δ', ὦ τάλαϲ, πέλαγοϲ εἰϲορῶ
τοϲοῦτον ὥϲτε μήποτ' ἐκνεῦϲαι πάλιν

codd.: Ω = MBOA; V; Λ = CDELP

808 κλῆ(ι)θρα BEL: κλεῖθρα Ω̣VCDP     809 ἐκλύεθ' ἁρμοὺϲ ὡϲ ἴδω πικρὰν θέαν post 824 habent BVΛ (non Ω̣): hoc loco habent codd. omnes ἐκλύϲαθ' ἁρμοὺϲ ὡϲ ἴδω δυϲδαίμονα (τὸν δαίμονα OV)     814–17 siglo M$^{?}$ notaui quae in imagine legi non possunt, in codice legi posse affirmant Wecklein (814, 817) et Wilamowitz (817)     814 βιαίω D, sicut coni. Elmsley; ὦ βιαίωϲ M$^{?}$Tr     816 ϲὴν CD     τάλαιναν CP     ζόαν Monk: ζοάν P: ζωάν ΩCL et P$^{2}$: ζώαν E: ζωήν VD     817$^{n}$ θη. om. M$^{?}$     817 ὤμοι BOAΛ̣ (ὤιμ- BOA) et gB: οἴμοι V: ἰώ μοι D: [M]     πόνων M$^{?}$AV: παθέων BOΛ et V$^{3}$ et gB     ἔπαθον PvHnOx: ὧν ἔπαθον M$^{?}$BOVΛ et gB: ὦ ἔπαθον A     τάλαϲ L: τάλαινα BVΔP et gB: πόλιϲ Ω̣ et V$^{3γρ}$     818 τύχα BΛ et gB: -χη Ω̣V     821 κατακονὰ fere MBOΔP et V$^{2}$ et $^{1}Σ^{nb}$ et $^{1}Σ^{nbv}$: -νᾶ(ι) AVL et M$^{2}$ et $^{1}Σ^{v}$ et $^{γρ}Σ^{nbv}$: utrumque agnoscit Eust. in Il. p. 381. 21     οὖν ΩVLP: om. Δ     ἀβίοτοϲ Ω̣C: ἀβίωτοϲ BVΛ̣     822 ὦ BOΛ et V$^{3γρ}$ et gB: ὁ MAV (cf. Chr. Pat. 420)     823 ὥϲτε BΛ et gB et Chr. Pat. 421: ὡϲ Ω̣V     ἐκπνεῦϲαι (M)O (~ gB et Chr. Pat.)

μηδ' ἐκπερᾶcαι κῦμα τῆcδε cυμφορᾶc.
τίνι λόγωι, τάλαc, τίνι τύχαν cέθεν
βαρύποτμον, γύναι, προcαυδῶν τύχω;
ὄρνιc γὰρ ὥc τιc ἐκ χερῶν ἄφαντοc εἶ,
πήδημ' ἐc Ἅιδου κραιπνὸν ὁρμήcαcά μοι.
αἰαῖ αἰαῖ, μέλεα μέλεα τάδε πάθη·
πρόcωθεν δέ ποθεν ἀνακομίζομαι
τύχαν δαιμόνων ἀμπλακίαιcι τῶν
πάροιθέν τινοc.

Χο. οὐ coὶ τάδ', ὦναξ, ἦλθε δὴ μόνωι κακά,
πολλῶν μετ' ἄλλων δ' ὤλεcαc κεδνὸν λέχοc.

Θη. τὸ κατὰ γᾶc θέλω, τὸ κατὰ γᾶc κνέφαc [ἀντ.
μετοικεῖν cκότωι θανών, ὦ τλάμων,
τῆc cῆc cτερηθεὶc φιλτάτηc ὁμιλίαc·
ἀπώλεcαc γὰρ μᾶλλον ἢ κατέφθιcο.
†τίνοc κλύω† πόθεν θανάcιμοc τύχα,
γύναι, cὰν ἔβα, τάλαινα, κραδίαν;
εἴποι τιc ἂν τὸ πραχθέν, ἢ μάτην ὄχλον
cτέγει τυραννὸν δῶμα προcπόλων ἐμῶν;
ὤμοι μοι ⟨ ⟩ cέθεν,

codd.: Ω = MBOA; V; Λ = CDELP

824 μηδ' BΛ et gB et Chr. Pat. 422: μήτ' ΩV 825 uide ad 809 826 τίνι λόγωι . . . τίνι Diggle: τίνα λόγον . . . τίνα codd. 827 γύναι ΩV: τλῆμον Λ: τλήμων BE 828 ὥc τιc] ὅcτιc VD (~ $V^2D^c$) et $^1\Sigma^{nv}$ (~ $^1\Sigma^{nbv}$ et $^1\Sigma^b$ et $^1\Sigma^v$ post corr.) 829 ἐc ΩV et Tr: εἰc BΛ κραιπνὸν ΩV (κρεπ- M) et Chr. Pat. 233: πικρὸν Λ μοι] που V (~ $V^{3\gamma\rho}$); μὲν C (~ $C^c$) 830 αἶ αἶ αἶ αἶ ΩV et Tr: αἶ αἶ fere BΛ μέλεα semel V (~ $V^3$) πάθη τάδε V 834ⁿ χο. om. M 834 τόδ' (~ $V^3$) et κακόν V ὦναξ BOVΛ: ἄναξ MA ἐπῆλθε MO 835 δ' Ω et $V^3$: om. VΛ 836ⁿ θη. om. ME 837 θανεῖν LP (~ $L^s$ et gB) ὦ τλάμων Elmsley: ὁ τλάμων ΩE: ὁ τλήμων LP et $V^2$: ὦ τλῆμον VCD 840 τίc desiderat Barrett 841 ἔβα VΛ: ἐπέβα Ω et $V^{3\gamma\rho}$ κραδίαν Kirchhoff: καρδίαν codd., quo seruato τάλαιν', ἔβα Elmsley 844 ὤμοι μοι Ω (ὤιμ- OA) et $V^{3\gamma\rho}$: ἰώ μοι μοι fere BVELP: ἰώ μοι CD lac. indic. Seidler (ἰώ μοι ⟨τάλαc, ἰώ μοι⟩ cέθεν)





μέλεοc, οἷον εἶδον ἄλγοc δόμων,
οὐ τλητὸν οὐδὲ ῥητόν. ἀλλ' ἀπωλόμην·
ἔρημοc οἶκοc, καὶ τέκν' ὀρφανεύεται.
⟨αἰαῖ αἰαῖ,⟩ ἔλιπεc ἔλιπεc, ὦ φίλα
γυναικῶν ἀρίcτα θ' ὁπόcαc ὁρᾶι
φέγγοc θ' ἀλίοιο καὶ νυκτὸc ἀ-
cτερωπὸν cέλαc.

Χο. ὦ τάλαc, ὅcον κακὸν ἔχει δόμοc·
δάκρυcί μου βλέφαρα καταχυθέντα τέγ-
γεται cᾶι τύχαι.
τὸ δ' ἐπὶ τῶιδε πῆμα φρίccω πάλαι.

Θη. ἔα ἔα·
τί δή ποθ' ἥδε δέλτοc ἐκ φίληc χερὸc
ἠρτημένη; θέλει τι cημῆναι νέον;
ἀλλ' ἦ λέχουc μοι καὶ τέκνων ἐπιcτολὰc
ἔγραψεν ἡ δύcτηνοc, ἐξαιτουμένη;
θάρcει, τάλαινα· λέκτρα γὰρ τὰ Θηcέωc
οὐκ ἔcτι δῶμά θ' ἥτιc εἴcειcιν γυνή.
καὶ μὴν τύποι γε cφενδόνηc χρυcηλάτου
τῆc οὐκέτ' οὔcηc οἵδε προccaίνουcί με.
φέρ' ἐξελίξαc περιβολὰc cφραγιcμάτων
ἴδω τί λέξαι δέλτοc ἥδε μοι θέλει.

codd.: Ω = MBOA; V; Λ = CDELP

845 ἄλγοc εἶδον VD; [M] 848ⁿ nullam notam M: χο. BOAVΛ 848 ⟨αἰαῖ αἰαῖ⟩ Kirchhoff 849 ὁπόcαιc VDP; [M] ὁρᾶι Nauck: ἐφορᾶ(ι) codd.: [M] 850 θ' ἀλίοιο Kirchhoff: ἀελίου τε codd. et gB: [M] 850–1 ἀcτερωπὸν cέλαc Jacobs: ἀcτερωπὸc cελάνα fere codd. et gB (-ωπὸc BVCDP, -οπὸc ΩEL et gB) 852ⁿ Χο. Musgrave: ἡμιχ. BVΛ: θη. M (item O, sed ante βλέφαρα 853): om. AD 852 ὦ τάλαc Dindorf: ὦ τάλαc ὦ τάλαc Ω (prius ὦ τ- in fine u. 851 MO, ita ut personae notam antecedat in M): ἰὼ τάλαc ὦ τάλαc BVΛ et $M^{\gamma\rho}$ 854 cᾶ(ι) ΩC et Tr: τᾶ(ι) cᾶ(ι) BVΛ 856ⁿ θη. om. MO 856 δή BVΛ: om. ΩE ἥδε] ἡ LP (~ Tr) 857 cημῆναι Ω: cημᾶναι VΛ et Chr. Pat. 128 863 οἵδε Wilamowitz: τῆcδε codd. προc- ΩDEL: προ- OVCP

Χο. φεῦ φεῦ, τόδ' αὖ νεοχμὸν ἐκδοχαῖς
ἐπεισφρεῖ θεὸς κακόν· †ἐμοὶ [μὲν οὖν ἀβίοτος βίου]
τύχα πρὸς τὸ κρανθὲν εἴη τυχεῖν·†
ὀλομένους γάρ, οὐκέτ' ὄντας, λέγω,
φεῦ φεῦ, τῶν ἐμῶν τυράννων δόμους.
[ὦ δαῖμον, εἴ πως ἔστι, μὴ σφήλῃς δόμους,
αἰτουμένης δὲ κλῦθί μου· πρὸς γάρ τινος
οἰωνὸν ὥστε μάντις εἰσορῶ κακόν.]
Θη. οἴμοι, τόδ' οἷον ἄλλο πρὸς κακῶι κακόν,
οὐ τλητὸν οὐδὲ λεκτόν· ὦ τάλας ἐγώ.
Χο. τί χρῆμα; λέξον, εἴ τί μοι λόγου μέτα.
Θη. βοᾶι βοᾶι δέλτος ἄλαστα· πᾶι φύγω
βάρος κακῶν; ἀπὸ γὰρ ὀλόμενος οἴχομαι,
οἷον οἷον εἶδον γραφαῖς μέλος
φθεγγόμενον τλάμων.
Χο. αἰαῖ, κακῶν ἀρχηγὸν ἐκφαίνεις λόγον.
Θη. τόδε μὲν οὐκέτι στόματος ἐν πύλαις
καθέξω δυσεκπέρατον ὀλοὸν
κακόν· ἰὼ πόλις.
Ἱππόλυτος εὐνῆς τῆς ἐμῆς ἔτλη θιγεῖν

codd.: Ω = MBOA; V; Λ = CDELP

867 ἐπεισφρεῖ J. U. Powell (CR 17 [1903] 266): ἐπεισφέρει BVΛ: ἐπιφέρει Ω et V$^{3}$ κακόν ΩV et Tr: om. Λ aliquid ex 821 irrepsisse uidit Maas ἀβίοτος MOCP: ἀβίωτος BAVDEL 869 ὀλουμένους BV et Tr et $^{1}\Sigma^{b}$ et $\Sigma^{b}$ (~ $\Sigma^{n}$) 871–3 del. Nauck (cl. $\Sigma^{b}$ ἔν τισιν οὐ φέρονται οὗτοι) 871 δαίμων MC σφήλῃς BVΛ: σφάλῃ(ι)ς Ω et V$^{3}$ δόμους ΩVLP et $^{1}\Sigma^{n}$: δόμον BΔ 872 δὲ ΩVC: γὰρ Λ 873 οἰωνῶν V (~ V$^{3}$) et M$^{2}$ et $\Sigma^{v}$; -νὸς C κακοῦ ELP et B$^{s}$ 874 κακῶ κακῶν C; κακὸν κακῶν O; (~ Chr. Pat. 142) 875 del. Wilamowitz, uix recte 877 πᾶ(ι) ΩC: ποῦ BVΛ 878 κακῶν ΩVDL: κακόν BCEP 879 γραφαῖς Wilamowitz: ἐν γ- codd. 880 τλάμων ΩC: τλήμων BVEP et D$^{c}$: τλῆμον DL 881 κακὸν OP (~ gB) ἐκφέρεις gB (~ gV et Chr. Pat. 419) 882 τόδε μὲν BAVΛ et $\Sigma^{nbv}$ et gB: τόδ' ἐμὸν MOC et V$^{3γρ}$ 883 δυσεκπέρατον BAVDLP et gB: -αντον MOC: -αστον E ὀλοὸν ΩC: ὀλοὸν ὀλοὸν BVΛ et gB 884 ἰὼ Elmsley: ὦ codd. πόλις Ω: πόλις πόλις BVΛ: πόλις ὦ πόλις C 885 εὐνῆς τῆς ἐμῆς ΩC et Tr: τῆς ἐμῆς εὐνῆς VΛ





βίαι, τὸ σεμνὸν Ζηνὸς ὄμμ' ἀτιμάσας.
ἀλλ', ὦ πάτερ Πόσειδον, ἃς ἐμοί ποτε
ἀρὰς ὑπέσχου τρεῖς, μιᾶι κατέργασαι
τούτων ἐμὸν παῖδ', ἡμέραν δὲ μὴ φύγοι
τήνδ', εἴπερ ἡμῖν ὤπασας σαφεῖς ἀράς.
Χο. ἄναξ, ἀπεύχου ταῦτα πρὸς θεῶν πάλιν,
γνώσηι γὰρ αὖθις ἀμπλακών· ἐμοὶ πιθοῦ.
Θη. οὐκ ἔστι. καὶ πρός γ' ἐξελῶ σφε τῆσδε γῆς,
δυοῖν δὲ μοίραιν θατέραι πεπλήξεται·
ἢ γὰρ Ποσειδῶν αὐτὸν εἰς Ἅιδου δόμους
θανόντα πέμψει τὰς ἐμὰς ἀρὰς σέβων
ἢ τῆσδε χώρας ἐκπεσὼν ἀλώμενος
ξένην ἐπ' αἶαν λυπρὸν ἀντλήσει βίον.
Χο. καὶ μὴν ὅδ' αὐτὸς παῖς σὸς ἐς καιρὸν πάρα
Ἱππόλυτος· ὀργῆς δ' ἐξανεὶς κακῆς, ἄναξ
Θησεῦ, τὸ λῷστον σοῖσι βούλευσαι δόμοις.
Ιπ. κραυγῆς ἀκούσας σῆς ἀφικόμην, πάτερ,
σπουδῆι· τὸ μέντοι πρᾶγμ' ὅτωι στένεις ἔπι
οὐκ οἶδα, βουλοίμην δ' ἂν ἐκ σέθεν κλύειν.
ἔα, τί χρῆμα; σὴν δάμαρθ' ὁρῶ, πάτερ,
νεκρόν· μεγίστου θαύματος τόδ' ἄξιον·
ἣν ἀρτίως ἔλειπον, ἣ φάος τόδε
οὔπω χρόνος παλαιὸς εἰσεδέρκετο.
τί χρῆμα πάσχει; τῶι τρόπωι διόλλυται;
πάτερ, πυθέσθαι βούλομαι σέθεν πάρα.

codd.: Ω = MBOA; V; Λ = CDELP

888 κατείργασαι MO 889 φύγη C (φυγή C$^{ac?}$); φύγ E; φύγω O (~ O$^{s}$) 891 ἀνεύχου Valckenaer 894 μοῖραν M (~ M$^{c}$); μοῖραι C πληγήσεται DE 895 πύλας M 896 κλύων C 899 καινὸν MO (~ M$^{2}$) 903 ὅτωι στένεις ἔπι Diggle: ἐφ' ὦ(ι)τινι στένεις fere codd. et Chr. Pat. 844 (ὦ(ι)τινι uel ὥτινι ΩVCL, ὦτι νῦν DE, ὦτινιν P, ὥτινι νῦν D$^{2}$P$^{c}$, ὧι τὰ νῦν et ὧν τὰ νῦν codd. Chr. Pat.) 907 ἔλειπον ΩELP et Priscianus 18. 167: ἔλιπον OVCD (-ῑ- D) ἣ fere Ω (ἢ MA, ~ M$^{2}$) et V$^{3γρ}$ et Prisc. (cf. Chr. Pat. 860 ὃς): εἰς BVΛ 908 χρόνος παλαιὸς Lehrs: χρόνον παλαιὸν codd. et Prisc. et Chr. Pat. 861

ϲιγᾶιϲ; ϲιωπῆϲ δ' οὐδὲν ἔργον ἐν κακοῖϲ.
[ἡ γὰρ ποθοῦϲα πάντα καρδία κλύειν
κἀν τοῖϲ κακοῖϲι λίχνοϲ οὖϲ' ἁλίϲκεται.]
οὐ μὴν φίλουϲ γε, κἄτι μᾶλλον ἢ φίλουϲ,
κρύπτειν δίκαιον ϲάϲ, πάτερ, δυϲπραξίαϲ.
*Θη.* ὦ πόλλ' ἁμαρτάνοντεϲ ἄνθρωποι μάτην,
τί δὴ τέχναϲ μὲν μυρίαϲ διδάϲκετε
καὶ πάντα μηχανᾶϲθε κἀξευρίϲκετε,
ἓν δ' οὐκ ἐπίϲταϲθ' οὐδ' ἐθηράϲαϲθέ πω,
φρονεῖν διδάϲκειν οἷϲιν οὐκ ἔνεϲτι νοῦϲ;
*Ιπ.* δεινὸν ϲοφιϲτὴν εἶπαϲ, ὅϲτιϲ εὖ φρονεῖν
τοὺϲ μὴ φρονοῦνταϲ δυνατόϲ ἐϲτ' ἀναγκάϲαι.
ἀλλ' οὐ γὰρ ἐν δέοντι λεπτουργεῖϲ, πάτερ,
δέδοικα μή ϲου γλῶϲϲ' ὑπερβάλληι κακοῖϲ.
*Θη.* φεῦ, χρῆν βροτοῖϲι τῶν φίλων τεκμήριον
ϲαφέϲ τι κεῖϲθαι καὶ διάγνωϲιν φρενῶν,
ὅϲτιϲ τ' ἀληθήϲ ἐϲτιν ὅϲ τε μὴ φίλοϲ,
διϲϲάϲ τε φωνὰϲ πάνταϲ ἀνθρώπουϲ ἔχειν,
τὴν μὲν δικαίαν τὴν δ' ὅπωϲ ἐτύγχανεν,
ὡϲ ἡ φρονοῦϲα τἄδικ' ἐξηλέγχετο
πρὸϲ τῆϲ δικαίαϲ, κοὐκ ἂν ἠπατώμεθα.
*Ιπ.* ἀλλ' ἦ τιϲ ἐϲ ϲὸν οὖϲ με διαβαλὼν ἔχει
φίλων, νοϲοῦμεν δ' οὐδὲν ὄντεϲ αἴτιοι;

codd.: Ω = MBOA; V; Λ = CDELP

911 δ' om. V et gV (~ ${}^{1}\Sigma^{nb}$ et gBgE) 912–13 del. Barrett 913 κακοῖϲι] κακοῖϲ D; κακοῖϲ γὰρ gB; (~ gVgE et Chr. Pat. 865) 914 φίλουϲ (prius)] -οιϲ OE; -οϲ V (~ $V^c$ et gV et Eust. in Il. p. 156. 15) φίλουϲ (alterum)] -οιϲ E (~ gV et Eust.) 919 οὐδ' ἐθηράϲαϲθέ Ω⟨L⟩P et $V^{3\gamma\rho}$ et gV (οὐδὲ θηρ- O et $V^{3\gamma\rho}$): οὐδὲ θηρᾶϲθέ fere VΔ et $L^c$ (οὐδὲ δὴ Tr) et gB et Stob. 2. 31. 8 et Orio flor. Eur. 18 πω] in ras. $L^c$; δή πω Orio (~ gVgB) 920 ἔϲτι A et gB (~ gV) 921 δεινὸν] μέγαν DE (~ $D^2$ et ${}^{1}\Sigma^{nbvd}$ et gVgE) 924 ὑπερβάλληι Barrett: -βάλη(ι) AL et $V^3P^c$ et gV: -βάλλοι MOC: -βάλοι BVD: -βάλει $EP^?$: -βαλλ gE 927 τ' om. DE et ${}^{1}\Sigma^{n}$ (~ ${}^{1}\Sigma^{bv}$ et gVgBgE) ὅϲ τε] ὅϲτιϲ OL et gV (~ gBgE) 928 τε ΩEL et gV: δὲ VCDP et gBgE 932 ἦ A et ${}^{1}\Sigma^{n}$ et ${}^{1}\Sigma^{nbv}$: ἤ BDE et ${}^{1}\Sigma^{b}$: ἤ $gB^c$: εἴ MOVCLP et $B^s$ et ${}^{1}\Sigma^{v}$ et gB 933 δ' ΩCDP et $V^3$Tr: om. OVE et $L^?$ et gB





ἔκ τοι πέπληγμαι· ϲοὶ γὰρ ἐκπλήϲϲουϲί με
λόγοι, παραλλάϲϲοντεϲ ἔξεδροι φρενῶν.
*Θη.* φεῦ τῆϲ βροτείαϲ—ποῖ προβήϲεται;—φρενόϲ.
τί τέρμα τόλμηϲ καὶ θράϲουϲ γενήϲεται;
εἰ γὰρ κατ' ἀνδρὸϲ βίοτον ἐξογκώϲεται,
ὁ δ' ὕϲτεροϲ τοῦ πρόϲθεν εἰϲ ὑπερβολὴν
πανοῦργοϲ ἔϲται, θεοῖϲι προϲβαλεῖν χθονὶ
ἄλλην δεήϲει γαῖαν ἣ χωρήϲεται
τοὺϲ μὴ δικαίουϲ καὶ κακοὺϲ πεφυκόταϲ.
ϲκέψαϲθε δ' ἐϲ τόνδ', ὅϲτιϲ ἐξ ἐμοῦ γεγὼϲ
ἤιϲχυνε τἀμὰ λέκτρα κἀξελέγχεται
πρὸϲ τῆϲ θανούϲηϲ ἐμφανῶϲ κάκιϲτοϲ ὤν.
δεῖξον δ', ἐπειδή γ' ἐϲ μίαϲμ' ἐλήλυθα,
τὸ ϲὸν πρόϲωπον δεῦρ' ἐναντίον πατρί.
ϲὺ δὴ θεοῖϲιν ὡϲ περιϲϲὸϲ ὢν ἀνὴρ
ξύνει; ϲὺ ϲώφρων καὶ κακῶν ἀκήρατοϲ;
οὐκ ἂν πιθοίμην τοῖϲι ϲοῖϲ κόμποιϲ ἐγὼ
θεοῖϲι προϲθεὶϲ ἀμαθίαν φρονεῖν κακῶϲ.
ἤδη νυν αὔχει καὶ δι' ἀψύχου βορᾶϲ
ϲίτοιϲ καπήλευ' Ὀρφέα τ' ἄνακτ' ἔχων
βάκχευε πολλῶν γραμμάτων τιμῶν καπνούϲ·
ἐπεί γ' ἐλήφθηϲ. τοὺϲ δὲ τοιούτουϲ ἐγὼ
φεύγειν προφωνῶ πᾶϲι· θηρεύουϲι γὰρ
ϲεμνοῖϲ λόγοιϲιν, αἰϲχρὰ μηχανώμενοι.
τέθνηκεν ἥδε· τοῦτό ϲ' ἐκϲώϲειν δοκεῖϲ;
ἐν τῶιδ' ἁλίϲκηι πλεῖϲτον, ὦ κάκιϲτε ϲύ·
ποῖοι γὰρ ὅρκοι κρείϲϲονεϲ, τίνεϲ λόγοι
τῆϲδ' ἂν γένοιντ' ἄν, ὥϲτε ϲ' αἰτίαν φυγεῖν;
μιϲεῖν ϲε φήϲειϲ τήνδε, καὶ τὸ δὴ νόθον

codd.: Ω = MBOA; V; Λ = CDELP

934 ἔκ] ἤ A (~ gB) 936 φεῦ φεῦ C et gE 946 ἐϲ Ω: εἰϲ VΛ ἐλήλυθα Musgrave: -θαϲ codd. 949 κακῶν τ' $CEP^?$ (~ $P^c$) 950 πιθοίμην BOVΛ et $M^2$: πυθ- MAD 954 γραμμάτων] ***γραμμάτων B; πραγμάτων C (~ $C^c$) 958 ἐκϲώζειν A; ἐκϲῶϲαι E (~ $E^s$) 959 πλεῖϲτον] μᾶλλον C et $V^3$ 961 γένοιντ' BAVCDL et gE: γένοιτ' MOEP 962 ϲε] γε ⟨L⟩P (~ Tr)

τοῖϲ γνηϲίοιϲι πολέμιον πεφυκέναι;
κακὴν ἄρ' αὐτὴν ἔμπορον βίου λέγειϲ
εἰ δυϲμενείαι ϲῆι τὰ φίλτατ' ὤλεϲεν.
ἀλλ' ὡϲ τὸ μῶρον ἀνδράϲιν μὲν οὐκ ἔνι,
γυναιξὶ δ' ἐμπέφυκεν; οἶδ' ἐγὼ νέουϲ
οὐδὲν γυναικῶν ὄνταϲ ἀϲφαλεϲτέρουϲ,
ὅταν ταράξηι Κύπριϲ ἡβῶϲαν φρένα·
τὸ δ' ἄρϲεν αὐτοὺϲ ὠφελεῖ προϲκείμενον.
νῦν οὖν—τί ταῦτα ϲοῖϲ ἁμιλλῶμαι λόγοιϲ
νεκροῦ παρόντοϲ μάρτυροϲ ϲαφεϲτάτου;
ἔξερρε γαίαϲ τῆϲδ' ὅϲον τάχοϲ φυγάϲ,
καὶ μήτ' Ἀθήναϲ τὰϲ θεοδμήτουϲ μόληιϲ
μήτ' εἰϲ ὅρουϲ γῆϲ ἧϲ ἐμὸν κρατεῖ δόρυ.
εἰ γὰρ παθών γέ ϲου τάδ' ἡϲϲηθήϲομαι,
οὐ μαρτυρήϲει μ' Ἴϲθμιοϲ Σίνιϲ ποτὲ
κτανεῖν ἑαυτὸν ἀλλὰ κομπάζειν μάτην,
οὐδ' αἱ θαλάϲϲηι ϲύννομοι Σκιρωνίδεϲ
φήϲουϲι πέτραι τοῖϲ κακοῖϲ μ' εἶναι βαρύν.

Χο. οὐκ οἶδ' ὅπωϲ εἴποιμ' ἂν εὐτυχεῖν τινα
θνητῶν· τὰ γὰρ δὴ πρῶτ' ἀνέϲτραπται πάλιν.

Ιπ. πάτερ, μένοϲ μὲν ξύνταϲίϲ τε ϲῶν φρενῶν
δεινή· τὸ μέντοι πρᾶγμ', ἔχον καλοὺϲ λόγουϲ,
εἴ τιϲ διαπτύξειεν οὐ καλὸν τόδε.
ἐγὼ δ' ἄκομψοϲ εἰϲ ὄχλον δοῦναι λόγον,
ἐϲ ἥλικαϲ δὲ κὠλίγουϲ ϲοφώτεροϲ·

codd.: Ω = MBOA; V; Λ = CDELP

965 εἰ] ἡ MO; ἦ M$^{2}$ δυϲμ-] δυϲγ- M (~ M$^{2}$) et V$^{3}$ -ενεία(ι) ϲῆ(ι) BAVΛ et D$^{2}$ (ϲὴ V, ~ V$^{3}$): -ένεια ϲὴ MOD (ϲῆι O) ὤλεϲεν ΩP et (D$^{2}$)L$^{c}$: ἀπώλ- VΔL 973 φυγὰϲ τάχοϲ MO (~ gB) 975 ὅρον V (~ V$^{3}$) 977 οὐ] οὐ γὰρ MC (~ M$^{2}$) 978 γε αὐτὸν A 979 οὐδ' αἱ BAVΔP et L$^{c}$ et $^{1}\Sigma^{nv}$: οὐδ' ἐν MO et V$^{3}$: οὐδὲ L$^{?}$ θαλάϲϲηι MO et V$^{3}$: -ϲϲηϲ BAVΛ et $^{1}\Sigma^{nv}$ ϲκιρ- O$^{?}$V et $^{1}\Sigma^{bv}$: ϲκειρ- ΩΔ⟨L$^{?}$⟩P et V$^{2}$: ϲκιρρ- L$^{c}$ 980 μ' om. DE 983 ξύνταϲιϲ Herwerden: ξύϲτ- codd. et gE 984 καλοὺϲ Ω et V$^{3γρ}$ et $^{1}\Sigma^{nbv}$: πολλοὺϲ VΛ et gE 986 λόγουϲ M et A$^{c}$V$^{3}$ et gV et anecd. Par. i. 292 (~ gE et Plut. mor. 6 B) 987 ἥλικα (C) et gE (~ gV)





ἔχει δὲ μοῖραν καὶ τόδ'· οἱ γὰρ ἐν ϲοφοῖϲ
φαῦλοι παρ' ὄχλωι μουϲικώτεροι λέγειν.
ὅμωϲ δ' ἀνάγκη, ξυμφορᾶϲ ἀφιγμένηϲ,
γλῶϲϲάν μ' ἀφεῖναι. πρῶτα δ' ἄρξομαι λέγειν
ὅθεν μ' ὑπῆλθεϲ πρῶτον ὡϲ διαφθερῶν
οὐκ ἀντιλέξοντ'. εἰϲορᾶιϲ φάοϲ τόδε
καὶ γαῖαν· ἐν τοῖϲδ' οὐκ ἔνεϲτ' ἀνὴρ ἐμοῦ,
οὐδ' ἢν ϲὺ μὴ φῆιϲ, ϲωφρονέϲτεροϲ γεγώϲ.
ἐπίϲταμαι γὰρ πρῶτα μὲν θεοὺϲ ϲέβειν
φίλοιϲ τε χρῆϲθαι μὴ ἀδικεῖν πειρωμένοιϲ
ἀλλ' οἷϲιν αἰδὼϲ μήτ' ἐπαγγέλλειν κακὰ
μήτ' ἀνθυπουργεῖν αἰϲχρὰ τοῖϲι χρωμένοιϲ,
οὐκ ἐγγελαϲτὴϲ τῶν ὁμιλούντων, πάτερ,
ἀλλ' αὑτὸϲ οὐ παροῦϲι κἀγγὺϲ ὢν φίλοιϲ.
ἑνὸϲ δ' ἄθικτοϲ, ὧι με νῦν ἔχειν δοκεῖϲ·
λέχουϲ γὰρ ἐϲ τόδ' ἡμέραϲ ἁγνὸν δέμαϲ.
οὐκ οἶδα πρᾶξιν τήνδε πλὴν λόγωι κλύων
γραφῆι τε λεύϲϲων· οὐδὲ ταῦτα γὰρ ϲκοπεῖν
πρόθυμόϲ εἰμι, παρθένον ψυχὴν ἔχων.
καὶ δὴ τὸ ϲῶφρον τοὐμὸν οὐ πείθει ϲ'· ἴτω·
δεῖ δή ϲε δεῖξαι τῶι τρόπωι διεφθάρην.
πότερα τὸ τῆϲδε ϲῶμ' ἐκαλλιϲτεύετο
παϲῶν γυναικῶν; ἢ ϲὸν οἰκήϲειν δόμον
ἔγκληρον εὐνὴν προϲλαβὼν ἐπήλπιϲα;

codd.: Ω = MBOA; V; Λ = CDELP

990 ξυμ- A: ϲυμ- MBOVΛ et gE et Chr. Pat. 518 992 πρῶτον Ω et V$^{3γρ}$D$^{2}$ et $\Sigma^{nbvd}$ et Chr. Pat. 520: πρότερον VΛ 993 οὐκ Markland (cf. $\Sigma^{nbv}$ ὡϲ διαφθερῶν ἀπολογίαν οὐκ ἔχοντα): κοὐκ codd. et $\Sigma^{bv}$ (περιϲϲὸϲ ὁ καί) 997 μὴ 'δικεῖν LP; μηδ' ἀδ- V$^{2}$ et gB (~ gVgE) 998 ἐπαγγέλλειν Milton: ἀπαγγ- codd. (-έλειν MEL) et gVgBgE 1000 κοὐκ V (~ gVgE) 1001 αὑτὸϲ $\Sigma^{nbv}$: αὐ- codd. et $^{1}\Sigma^{nv}$ et gVgE φίλοιϲ VΛ et B$^{γρ}$ et $\Sigma^{nbv}$ et gE: φίλοϲ ΩE et gV 1002 ἔχειν VDL: ἑλεῖν ΩCEP et V$^{3γρ}$ et gE 1004 οὐκ Ω: κοὐκ BVΛ et gE: utrumque codd. Chr. Pat. 522 1007 κεἰ μὴ AD; εἰ δὴ Tr (~ ⟨L⟩) ἴτω Murray: ἴϲωϲ codd. 1011 εὐνῆι M et V$^{3γρ}$

μάταιος ἆρ' ἦν, οὐδαμοῦ μὲν οὖν φρενῶν.
ἀλλ' ὡς τυραννεῖν ἡδὺ τοῖςι cώφροςιν;
†ἥκιςτά γ', εἰ μὴ† τὰς φρένας διέφθορεν
θνητῶν ὅςοιςιν ἁνδάνει μοναρχία.
ἐγὼ δ' ἀγῶνας μὲν κρατεῖν Ἑλληνικοὺς
πρῶτος θέλοιμ' ἄν, ἐν πόλει δὲ δεύτερος
cὺν τοῖς ἀρίςτοις εὐτυχεῖν ἀεὶ φίλοις·
πράςςειν τε γὰρ πάρεςτι, κίνδυνός τ' ἀπὼν
κρείςςω δίδωςι τῆς τυραννίδος χάριν.
ἓν οὐ λέλεκται τῶν ἐμῶν, τὰ δ' ἄλλ' ἔχεις·
εἰ μὲν γὰρ ἦν μοι μάρτυς οἷός εἰμ' ἐγὼ
καὶ τῆςδ' ὁρώςης φέγγος ἠγωνιζόμην,
ἔργοις ἂν εἶδες τοὺς κακοὺς διεξιών·
νῦν δ' ὅρκιόν ςοι Ζῆνα καὶ πέδον χθονὸς
ὄμνυμι τῶν cῶν μήποθ' ἅψαςθαι γάμων
μηδ' ἂν θελῆςαι μηδ' ἂν ἔννοιαν λαβεῖν.
ἦ τἄρ' ὀλοίμην ἀκλεὴς ἀνώνυμος
[ἄπολις ἄοικος, φυγὰς ἀλητεύων χθόνα,]
καὶ μήτε πόντος μήτε γῆ δέξαιτό μου
cάρκας θανόντος, εἰ κακὸς πέφυκ' ἀνήρ.
τί δ' ἥδε δειμαίνους' ἀπώλεςεν βίον
οὐκ οἶδ', ἐμοὶ γὰρ οὐ θέμις πέρα λέγειν·
ἐςωφρόνηςε δ' οὐκ ἔχουςα ςωφρονεῖν,
ἡμεῖς δ' ἔχοντες οὐ καλῶς ἐχρώμεθα.

codd.: Ω = MBOA; V; Λ = CDELP

1012–15 in suspicionem uocauit Barrett (1012 iam Wecklein, 1014–15 Weil et Nauck); 1012, 1014–15 del. Kells, CQ n.s. 17 (1967) 181–3   1012 κοὐδαμοῦ L (~ gE)   οὖν BVΔL et gE: ἦν Ω et in fine u. $V^{3}$: om. P   φρενῶν Markland (cl. $\Sigma^{nbv}$ οὐδαμοῦ cυνέcεωc ἦν): φρονῶν codd. et gE   1014 ἥκιcτ', ἐπεί τοι Barrett (modo ne u. spurius sit)   διέφθειρεν MO (~ gE)   1016 κρατεῖν μὲν C et gE   1018 ἀεὶ εὐτυχεῖν C et gE   1019 τε γὰρ MBO: γὰρ εὖ AVΛ et $^{li}\Sigma^{nbv}$ et $B^{2}$ et gE   τ' Ω: δ' VΛ et gE   1025 χθονὸc πέδον MO   1028 ὀλοίμαν CP   1029 del. Valckenaer   1032 τί Nauck: εἰ codd.   1033 πέρα ante θέμιc A et pars codd. Chr. Pat. 532, post λέγειν Tr   1034 ἐcωφρόνηcε δ' ΩE et $V^{2}$ et $^{1}\Sigma^{t}$: -ηcεν VΛ et $V^{3}$ et $^{1}\Sigma^{nv}$ et gE   οὐχ ἑκοῦcα $^{γρ}\Sigma^{bv}$ (~ gE)





Χο. ἀρκοῦcαν εἶπαc αἰτίαc ἀποcτροφὴν
ὅρκουc παραcχών, πίcτιν οὐ cμικράν, θεῶν.
Θη. ἆρ' οὐκ ἐπῳδὸc καὶ γόηc πέφυχ' ὅδε,
ὃc τὴν ἐμὴν πέποιθεν εὐοργηcίαι
ψυχὴν κρατήcειν, τὸν τεκόντ' ἀτιμάcαc;
Ιπ. καὶ coῦ γε ταὐτὰ κάρτα θαυμάζω, πάτερ·
εἰ γὰρ cὺ μὲν παῖc ἦcθ', ἐγὼ δὲ cὸc πατήρ,
ἔκτεινά τοί c' ἂν κοὐ φυγαῖc ἐζημίουν,
εἴπερ γυναικὸc ἠξίουc ἐμῆc θιγεῖν.
Θη. ὡc ἄξιον τόδ' εἶπαc. οὐχ οὕτω θανῆι,
ὥcπερ cὺ cαυτῶι τόνδε προὔθηκαc νόμον·
ταχὺc γὰρ Ἅιδηc ῥᾶιcτοc ἀνδρὶ δυcτυχεῖ·
ἀλλ' ἐκ πατρῴαc φυγὰc ἀλητεύων χθονὸc
ξένην ἐπ' αἶαν λυπρὸν ἀντλήcειc βίον.
[μιcθὸc γὰρ οὗτόc ἐcτιν ἀνδρὶ δυccεβεῖ.]
Ιπ. οἴμοι, τί δράcειc; οὐδὲ μηνυτὴν χρόνον
δέξηι καθ' ἡμῶν, ἀλλά μ' ἐξελᾶιc χθονόc;
Θη. πέραν γε Πόντου καὶ τόπων Ἀτλαντικῶν,
εἴ πωc δυναίμην, ὡc cὸν ἐχθαίρω κάρα.
Ιπ. οὐδ' ὅρκον οὐδὲ πίcτιν οὐδὲ μάντεων
φήμαc ἐλέγξαc ἄκριτον ἐκβαλεῖc με γῆc;
Θη. ἡ δέλτοc ἥδε κλῆρον οὐ δεδεγμένη
κατηγορεῖ cου πιcτά· τοὺc δ' ὑπὲρ κάρα
φοιτῶνταc ὄρνιc πόλλ' ἐγὼ χαίρειν λέγω.

codd.: Ω = MBOA; V; Λ = CDELP

1038 καὶ] οὐ A (~ gE)   πέφυκ' MAC, -φυγ' D (~ gE)   1039 εὐοργηcία(ι) fere ΩVC⟨LP⟩ (-γ*(*)ια M, εὐεργεcίαν O) et $^{i}\Sigma^{nbv}$ et gE: εὐορκηcία(ι) DE et $B^{2}A^{2}V^{2}L^{s}TrP^{c}$: εὐορκία $M^{2}$   1041 ταὐτὰ κάρτα Barrett: ταῦτα κάρτα L: κάρτα ταῦτα ΩVDE: κάρτα C: πάντα ταῦτα P   1042 μὲν] μοι Barrett (μου iam Markland)   1044 ἠξίουc VΔ et $M^{2}L^{c}$: -ουc γ' $B^{?}$O: -ουc c' A: -ουν c' ⟨L⟩P et $B^{2}V^{3}$ (etiam γ' $V^{3s}$): -ουν M: aut -ουν aut -ουν c' $^{i}\Sigma^{nbv}$   1047 ῥᾶcτον CE et $^{1}\Sigma^{n}$ (~ $^{1}\Sigma^{b}$ et gB)   δυcτυχεῖ BVΛ et $C^{2}$ et gB: δυccεβεῖ ΩC et $^{i}\Sigma^{nbv}$   1050 del. Nauck (cl. $\Sigma^{nb}$ ἐν πολλοῖc οὐ φέρεται οὗτοc ὁ ἴαμβοc)   οὗτόc ἐcτιν ΩC: ἐcτιν οὗτοc VΛ   δυcμενεῖ E   1053 καὶ τόπων fere VΛ et (τόπων) $A^{2γρ}$: τερμόνων τ' OAC: τερμόνων MB et $V^{3γρ}$   1056 ἐλέγξαc MOVΛ: ἐλέγχων BA et $V^{3}$   1059 ὄρνιc BAΛ et $V^{c}$: ὄρνειc MOVE

Ιπ. ὦ θεοί, τί δῆτα τοὐμὸν οὐ λύω cτόμα,
ὅcτιc γ' ὑφ' ὑμῶν, οὓc cέβω, διόλλυμαι;
οὐ δῆτα· πάντωc οὐ πίθοιμ' ἂν οὕc με δεῖ,
μάτην δ' ἂν ὅρκουc cυγχέαιμ' οὓc ὤμοcα.
Θη. οἴμοι, τὸ cεμνὸν ὥc μ' ἀποκτενεῖ τὸ cόν.
οὐκ εἶ πατρώιαc ἐκτὸc ὡc τάχιcτα γῆc;
Ιπ. ποῖ δῆθ' ὁ τλήμων τρέψομαι; τίνοc ξένων
δόμουc ἔcειμι, τῆιδ' ἐπ' αἰτίαι φυγών;
Θη. ὅcτιc γυναικῶν λυμεῶναc ἥδεται
ξένουc κομίζων καὶ ξυνοικούρουc κακῶν.
Ιπ. αἰαῖ, πρὸc ἧπαρ· δακρύων ἐγγὺc τόδε,
εἰ δὴ κακόc γε φαίνομαι δοκῶ τε cοί.
Θη. τότε cτενάζειν καὶ προγιγνώcκειν c' ἐχρῆν
ὅτ' ἐc πατρώιαν ἄλοχον ὑβρίζειν ἔτληc.
Ιπ. ὦ δώματ', εἴθε φθέγμα γηρύcαιcθέ μοι
καὶ μαρτυρήcαιτ' εἰ κακὸc πέφυκ' ἀνήρ.
Θη. ἐc τοὺc ἀφώνουc μάρτυραc φεύγειc cοφῶc·
τὸ δ' ἔργον οὐ λέγον cε μηνύει κακόν.
Ιπ. φεῦ·
εἴθ' ἦν ἐμαυτὸν προcβλέπειν ἐναντίον
cτάνθ', ὡc ἐδάκρυc' οἷα πάcχομεν κακά.
Θη. πολλῶι γε μᾶλλον cαυτὸν ἤcκηcαc cέβειν
ἢ τοὺc τεκόνταc ὅcια δρᾶν δίκαιοc ὤν.

codd.: Ω = MBOA; V; Λ = CDELP

1060 λύω Elmsley: λύcω codd. 1061 ὑμῶν BACEL: ἡμῶν MOVDP 1062 πείθοιμ' CE et M$^{2}$; πύθ- A 1064 ἀποκτενεῖ BVΛ: -κτείνει Ω(C) et V$^{3γρ}$ et gE 1065 ὡc τ- γῆc ἐκτόc LP 1066 δῆθ' ὁ ΩC et V$^{3}$: δῆτα VΛ τλῆμον VD (~ V$^{1c}$) 1067 εἴcειμι O$^{?}$LP (~ O$^{c?}$) 1069 ξυν- DLP: cυν- ΩVCE -οικούρουc LP: -οικουροὺc ΩVΔ: -εργάταc Σ$^{nb}$ 1070 ἧπαρ· δακρύων HnOx, sicut coni. Wilamowitz: ἧπαρ δακρύων τ' fere codd. et gV 1071 γε ΩC et V$^{3}$ et gV: τε VΛ 1072 τότε δὴ V c' ἐχρῆν Ω et V$^{3}$: cε χρῆν C: ἐχρῆν VΛ 1074 γηρύcαιcθέ L$^{c}$ (γηρ***ιcθέ L$^{uv}$): -ύcεcθέ MBOVCP: -ύεcθέ ADE et $^{1}$Σ$^{nbv}$ 1075 μαρτυρήcαιτ' L$^{c}$: -cετ' MBOVΔ et Σ$^{v}$: -cατ' ALP et (ἐμ-) Σ$^{nb}$ 1076 ἀφώνουc BAVΛ et $^{1}$Σ$^{nbv}$: ἀφθόγγουc MOC cοφῶc C et γρΣ$^{nbv}$ et B$^{2}$: cαφῶc ΩVΛ et (qui post φεύγειc dist.) Σ$^{nbv}$ 1077 δεικνύει V (~ V$^{3γρ}$)





Ιπ. ὦ δυcτάλαινα μῆτερ, ὦ πικραὶ γοναί·
μηδείc ποτ' εἴη τῶν ἐμῶν φίλων νόθοc.
Θη. οὐχ ἕλξετ' αὐτόν, δμῶεc; οὐκ ἀκούετε
πάλαι ξενοῦcθαι τόνδε προυννέποντά με;
Ιπ. κλαίων τιc αὐτῶν ἆρ' ἐμοῦ γε θίξεται·
cὺ δ' αὐτόc, εἴ cοι θυμόc, ἐξώθει χθονόc.
Θη. δράcω τάδ', εἰ μὴ τοῖc ἐμοῖc πείcηι λόγοιc·
οὐ γάρ τιc οἶκτοc cῆc μ' ὑπέρχεται φυγῆc.
Ιπ. ἄραρεν, ὡc ἔοικεν. ὦ τάλαc ἐγώ,
ὡc οἶδα μὲν ταῦτ', οἶδα δ' οὐχ ὅπωc φράcω.
ὦ φιλτάτη μοι δαιμόνων Λητοῦc κόρη,
cύνθακε, cυγκύναγε, φευξούμεcθα δὴ
κλεινὰc Ἀθήναc. ἀλλὰ χαιρέτω πόλιc
καὶ γαῖ' Ἐρεχθέωc· ὦ πέδον Τροζήνιον,
ὡc ἐγκαθηβᾶν πόλλ' ἔχειc εὐδαίμονα,
χαῖρ'· ὕcτατον γάρ c' εἰcορῶν προcφθέγγομαι.
ἴτ', ὦ νέοι μοι τῆcδε γῆc ὁμήλικεc,
προcείπαθ' ἡμᾶc καὶ προπέμψατε χθονόc·
ὡc οὔποτ' ἄλλον ἄνδρα cωφρονέcτερον
ὄψεcθε, κεἰ μὴ ταῦτ' ἐμῶι δοκεῖ πατρί.

ΘΕΡΑΠΟΝΤΕC
ἦ μέγα μοι τὰ θεῶν μελεδήμαθ', ὅταν φρέναc [cτρ. α
ἔλθηι,
λύπαc παραιρεῖ· ξύνεcιν δέ τιν' ἐλπίδι κεύθων
λείπομαι ἔν τε τύχαιc θνατῶν καὶ ἐν ἔργμαcι
λεύccων·

codd.: Ω = MBOA; V; Λ = CDELP

1085 τῶδε LP (~ P$^{c}$) προυνν-] προυν- OVCL 1086 ἐμοῦ τεθίξεται M 1089 ὑπέρχεται BVΛ: ἐπ- ΩC 1092 κόρη ΩC: κόρα BVΛ 1093 cυγκ- BAE⟨L⟩P et D$^{2}$: cυνκ- MOVCD et Tr φευξούμε(c)θα ΩVCD et $^{1}$Σ$^{nv}$: -όμε(c)θα ELP 1095 γαῖ' BVΛ: γᾶ ΩC 1097 c' BVDLP et Chr. Pat. 1316, 1636: om. ΩCE 1102 seqq. strophas famulorum (uide ad 61), antistrophos mulierum choro trib. Verrall: omnes mulierum choro trib. codd. et Σ$^{nbv}$: uide Bond, Hermathena 129 (1980) 59–63 1104 παραινεῖ BO (~ B$^{2}$) 1107 βλέπων V (~ V$^{3}$)

ἄλλα γὰρ ἄλλοθεν ἀμείβεται, μετὰ δ' ἵςταται
ἀνδράςιν αἰὼν
πολυπλάνητος αἰεί.

Χο. εἴθε μοι εὐξαμέναι θεόθεν τάδε μοῖρα [ἀντ. α
παράςχοι,
τύχαν μετ' ὄλβου καὶ ἀκήρατον ἄλγεςι θυμόν·
δόξα δὲ μήτ' ἀτρεκὴς μήτ' αὖ παράςημος
ἐνείη,
ῥάιδια δ' ἤθεα τὸν αὔριον μεταβαλλομένα χρόνον αἰεὶ
βίον ςυνευτυχοίην.

Θε. οὐκέτι γὰρ καθαρὰν φρέν' ἔχω, παρὰ δ' ἐλπίδ' [ςτρ. β
ἃ λεύςςω·
ἐπεὶ τὸν Ἑλλανίας φανερώτατον ἀςτέρ' Ἀφαίας
εἴδομεν εἴδομεν ἐκ πατρὸς ὀργᾶς
ἄλλαν ἐπ' αἶαν ἱέμενον.
ὦ ψάμαθοι πολιήτιδος ἀκτᾶς,
ὦ δρυμὸς ὄρεος ὄθι κυνῶν

codd.: Ω = MBOA; V; Λ = C(–1123)DELP

1108 ἄλλοτ' LP 1109 ἵςταται Ω⟨L⟩P: ἵςτατ' VΔ et Tr 1110 πολύπλανον C αἰεί MBVDEL$^{?}$P: ἀεί OA et L$^{c?}$: γὰρ C 1111 εὐξαμένωι D 1114 ἀκήρατον Ω et V$^{3\gamma\rho}$: ἀγήραον BVΛ 1118 αἰεὶ MBC et Tr: ἀεὶ OAVΛ 1119 βίω(ι) VE (∼ V$^{3}$) 1121 παρὰ δ' ἐλπίδ' ἃ Musgrave: παρὰ δ' ἐλπίδα BVDE: παρ' ἐλπίδα ΩCLP (παρελ- MP): τὰ παρ' ἐλπίδα (tum λεύςςων) Hartung λεύς(c)ω BVΛ: λεύς(c)ων ΩD et V$^{3}$Tr 1123 Ἀφαίας Fitton (Pegasus 8 [1967] 33–4), Huxley (GRBS 12 [1971] 331–3): ἀθάνας V et Eust. in Il. p. 513. 42: ἀθήνας AΛ et V$^{3}$: ἀθήνης B: ἀθήναις MO: gen. sing. Σ$^{(1)}$ (Σ$^{nb}$ τῆς Ἀττικῆς, cl. Od. 7. 80 εὐρυάγυιαν Ἀθήνην): quid legerit Σ$^{(2)}$ incertum (Σ$^{n(bv)}$ ἐπειδὴ τὸν τῆς Ἑλληνικῆς γῆς φανερώτατον ἀςτέρα, καὶ τὰ ἑξῆς; unde ἀςτέρα γαίας Hartung): cf. etiam Hdt. 3. 59. 3 (Ἀφαίης pro Ἀθηναίης H. Kurz; cf. Furtwaengler, Aegina 7), et uide 1459 1126 ψάμμαθοι VE 1127 ὄρεος (gen. sing.) Diggle (cf. Andr. 849): ὄρειος codd.: ὄρεος (adiect.) Wilamowitz: uide ICS 6.1 (1981) 85





ὠκυπόδων μέτα θῆρας ἔναιρεν
Δίκτυνναν ἀμφὶ ςεμνάν.

Χο. οὐκέτι ςυζυγίαν πώλων Ἐνετᾶν ἐπιβάςηι [ἀντ. β
τὸν ἀμφὶ Λίμνας τρόχον κατέχων ποδὶ
γυμνάδος ἵππου·
μοῦςα δ' ἄυπνος ὑπ' ἄντυγι χορδᾶν
λήξει πατρῷιον ἀνὰ δόμον·
ἀςτέφανοι δὲ κόρας ἀνάπαυλαι
Λατοῦς βαθεῖαν ἀνὰ χλόαν·
νυμφιδία δ' ἀπόλωλε φυγᾶι ςᾶι
λέκτρων ἅμιλλα κούραις.

ἐγὼ δὲ ςᾶι δυςτυχίαι [ἐπῳδ.
δάκρυςιν διοίςω
πότμον ἄποτμον. ὦ τάλαινα μᾶτερ,
ἔτεκες ἀνόνατα· φεῦ,
μανίω θεοῖςιν.
ἰὼ ἰώ·
ςυζύγιαι Χάριτες, τί τὸν τάλαν' ἐκ πατρίας γᾶς
οὐδὲν ἄτας αἴτιον
πέμπετε τῶνδ' ἀπ' οἴκων;

codd.: Ω = MBOA; V; Λ = H(1136–)DELP

1128–9 μέτα θῆρας ἔναιρεν Blomfield: ἐπέβας (-βα LP) θεᾶς μέτα θῆρας ἐναίρων (ἀν- D) codd. 1130 δίκτυνναν BAEP: -υναν MOVD: -υνας L (ναν Tr$^{s}$) 1131 ςυζυγία MO et Tr (∼ Tr$^{s}$) 1133 λήμνης DE 1134 γυμνάδος ἵππου Reiske: -δας ἵππους codd. 1138 χλόαν om. ⟨L⟩P (∼ Tr$^{\gamma\rho}$; etiam ἀν' ὕλαν Tr); χθόνα V$^{3\gamma\rho}$ 1139 νυμφιδία δ' ἀπόλωλε MO (-ίᾳ O) et ut uid. $^{i}$Σ$^{nb}$: νυμφίδια δ' ἀπόλωλε λέχη BAVΛ (ἀπώλ- DEL; ∼ Tr) 1141 κούραις ΩV: κόραις Λ 1143 δάκρυςιν Barthold: -ςι codd. 1145 ἀνόνατα Ω: ἀνόνητα BVΛ: αἰνότατα V$^{3\gamma\rho}$ 1146 μανίω BAVLP: μᾶν ἰὼ MO: μηνίω HD et V$^{3}$TrP$^{2}$: μηνίὼ B$^{2}$: om. (cum θεοῖςιν) E 1147 ἰώ O 1148 τάλαν' Tr: τάλαν A⟨E$^{?}$L⟩P et B$^{3}$: τάλαιν' MBOVH$^{uv}$D et E$^{c?}$ πατρώας V et Tr γᾶς om. LP (∼ Tr); γῆς ⟨B⟩ (∼ B$^{c}$) 1150 πέμπεται MH (∼ H$^{2}$)

καὶ μὴν ὀπαδὸν Ἱππολύτου τόνδ᾽ εἰϲορῶ
ϲπουδῆι ϲκυθρωπὸν πρὸϲ δόμουϲ ὁρμώμενον.

## ΑΓΓΕΛΟϹ

ποῖ γῆϲ ἄνακτα τῆϲδε Θηϲέα μολὼν
εὕροιμ᾽ ἄν, ὦ γυναῖκεϲ; εἴπερ ἴϲτε μοι
ϲημήνατ᾽· ἆρα τῶνδε δωμάτων ἔϲω;
Χο. ὅδ᾽ αὐτὸϲ ἔξω δωμάτων πορεύεται.
Αγ. Θηϲεῦ, μερίμνηϲ ἄξιον φέρω λόγον
ϲοὶ καὶ πολίταιϲ οἵ τ᾽ Ἀθηναίων πόλιν
ναίουϲι καὶ γῆϲ τέρμοναϲ Τροζηνίαϲ.
Θη. τί δ᾽ ἔϲτι; μῶν τιϲ ϲυμφορὰ νεωτέρα
διϲϲὰϲ κατείληφ᾽ ἀϲτυγείτοναϲ πόλειϲ;
Αγ. Ἱππόλυτοϲ οὐκέτ᾽ ἔϲτιν, ὡϲ εἰπεῖν ἔποϲ·
δέδορκε μέντοι φῶϲ ἐπὶ ϲμικρᾶϲ ῥοπῆϲ.
Θη. πρὸϲ τοῦ; δι᾽ ἔχθραϲ μῶν τιϲ ἦν ἀφιγμένοϲ
ὅτου κατῆιϲχυν᾽ ἄλοχον ὡϲ πατρὸϲ βίαι;
Αγ. οἰκεῖοϲ αὐτὸν ὤλεϲ᾽ ἁρμάτων ὄχοϲ
ἀραί τε τοῦ ϲοῦ ϲτόματοϲ, ἃϲ ϲὺ ϲῶι πατρὶ
πόντου κρέοντι παιδὸϲ ἠράϲω πέρι.
Θη. ὦ θεοί, Πόϲειδόν θ᾽· ὡϲ ἄρ᾽ ἦϲθ᾽ ἐμὸϲ πατὴρ
ὀρθῶϲ, ἀκούϲαϲ τῶν ἐμῶν κατευγμάτων.
πῶϲ καὶ διώλετ᾽; εἰπέ, τῶι τρόπωι Δίκηϲ
ἔπαιϲεν αὐτὸν ῥόπτρον αἰϲχύναντά με;
Αγ. ἡμεῖϲ μὲν ἀκτῆϲ κυμοδέγμονοϲ πέλαϲ
ψήκτραιϲιν ἵππων ἐκτενίζομεν τρίχαϲ
κλαίοντεϲ· ἦλθε γάρ τιϲ ἄγγελοϲ λέγων

codd.: $\Pi^8$(1165–); Ω = MBOA; V; Λ = HDELP

1151ⁿ nullam notam Ω: ἡμιχ. VΛ: χο. $M^2$ 1153 ποῦ M τόνδε MO; τῆϲ τε H 1158 πύλην D⟨L?⟩ (~ $L^c$) 1165 ὡϲ] ἐκ VP; ὡϲ τοῦ $V^3$ 1166 ὤλεϲ᾽ ΩP: -ϲεν VΔL: [$\Pi^8$] 1172 ῥόπτον ($\Pi^8$)BO (~ $^1\Sigma^b$) et Chr. Pat. 1436 cod. B (~ Eust. in Il. p. 501. 20) αἰϲχύναντά με BVΛ et (-αντα[..]) $\Pi^8$ et $M^2$: -αντ᾽ ἐμέ Ω 1175 κλαίοντεϲ ΩVE: κλάοντεϲ BΛ:[$\Pi^8$]





ὡϲ οὐκέτ᾽ ἐν γῆι τῆιδ᾽ ἀναϲτρέψοι πόδα
Ἱππόλυτοϲ, ἐκ ϲοῦ τλήμοναϲ φυγὰϲ ἔχων.
ὁ δ᾽ ἦλθε ταὐτὸν δακρύων ἔχων μέλοϲ
ἡμῖν ἐπ᾽ ἀκτάϲ, μυρία δ᾽ ὀπιϲθόπουϲ
φίλων ἅμ᾽ ἔϲτειχ᾽ ἡλίκων ⟨θ᾽⟩ ὁμήγυριϲ.
χρόνωι δὲ δή ποτ᾽ εἶπ᾽ ἀπαλλαχθεὶϲ γόων·
Τί ταῦτ᾽ ἀλύω; πειϲτέον πατρὸϲ λόγοιϲ.
ἐντύναθ᾽ ἵππουϲ ἅρμαϲι ζυγηφόρουϲ,
δμῶεϲ, πόλιϲ γὰρ οὐκέτ᾽ ἔϲτιν ἥδε μοι.
τοὐνθένδε μέντοι πᾶϲ ἀνὴρ ἠπείγετο,
καὶ θᾶϲϲον ἢ λέγοι τιϲ ἐξηρτυμέναϲ
πώλουϲ παρ᾽ αὐτὸν δεϲπότην ἐϲτήϲαμεν.
μάρπτει δὲ χερϲὶν ἡνίαϲ ἀπ᾽ ἄντυγοϲ,
αὐταῖϲ ἐν ἀρβύλαιϲιν ἁρμόϲαϲ πόδαϲ.
καὶ πρῶτα μὲν θεοῖϲ εἶπ᾽ ἀναπτύξαϲ χέραϲ·
Ζεῦ, μηκέτ᾽ εἴην εἰ κακὸϲ πέφυκ᾽ ἀνήρ·
αἴϲθοιτο δ᾽ ἡμᾶϲ ὡϲ ἀτιμάζει πατὴρ
ἤτοι θανόνταϲ ἢ φάοϲ δεδορκόταϲ.
κἀν τῶιδ᾽ ἐπῆγε κέντρον ἐϲ χεῖραϲ λαβὼν
πώλοιϲ ἁμαρτῆι· πρόϲπολοι δ᾽ ὑφ᾽ ἅρματοϲ
πέλαϲ χαλινῶν εἱπόμεϲθα δεϲπότηι

codd.: $\Pi^8$(–1179, 1194–); Ω = MBOA; V; Λ = H(–1186)DELP

1176 ἀναϲτρέψοι BΔP: -ψει L: -φοι $\Pi^8$ΩV et fort. $^1\Sigma^{bv}$ (φεύγει) 1178 ταυτὸν D⟨L⟩P: ταὐτὸ uel ταυτὸ ΩVHE et $L^c$: [$\Pi^8$] 1179 ἀκτάϲ Kirchhoff: ἀκταῖϲ codd.: [$\Pi^8$] 1180 ⟨θ᾽⟩ Markland 1181 ἀποπλαχθεὶϲ B(O); ἀπαλλαγεὶϲ $B^2$ (cf. Chr. Pat. 1234); ἀλλαχθεὶϲ $O^{1c}$ 1182 πειϲτέον AH?ELP et $B^2$ et Chr. Pat. 1235: πιϲτέον MBOVD 1183 ἐντύναθ᾽ ΩV: -νεθ᾽ fere Λ 1186 λέγει VP 1189 αὐταῖϲ ἐν Valckenaer: αὐταῖϲεν cod. unus Et. Ma. 135. 12: αὐταῖϲιν codd. et Eust. in Il. p. 599. 22 et Et. Ma. codd. cett.: αὐτῆ(ι)ϲιν $\Sigma^{tbv}$ Ph. 3, -οῖϲιν $\Sigma^m$ Ph. ἀρβύλαιϲιν ΩVL et $\Sigma^{mt}$ Ph.: -λη(ι)ϲιν BE(P) et $\Sigma^{bv}$ Ph. et Eust. et Et. Ma.: -λοιϲιν D πόδαϲ DE et $L^{c?}$: πόδα· ΩVL?P et $\Sigma^{bt}$ Ph. et Eust. et Et. Ma.: πόδ $\Sigma^{mv}$ Ph. 1190 θεοῖϲ OΛ et $^1\Sigma^{nb}$ et fort. $^1\Sigma^{nb}$: θεοὺϲ Ω et $V^3$: om. V 1194 υπηγ[ $\Pi^8$ (~ Eust. in Il. p. 719. 35) 1195 πώλοιϲ AVΛ (dat. etiam Eust.): πώλουϲ $\Pi^8$MBO et $V^3$ αμαρτηι $\Pi^8$: ὁμ- ΩVΛ ὑφ᾽ ἅρματοϲ Λ: ἐφ᾽ ἅρματοϲ OV (ἐμφ᾽ O) et $M^2$: ἐφ᾽ ἅρματι BA et $V^3$: ἐφάϲκομε M?: [$\Pi^8$]

τὴν εὐθὺϲ Ἄργουϲ κἀπιδαυρίαϲ ὁδόν.
ἐπεὶ δ' ἔρημον χῶρον εἰϲεβάλλομεν,
ἀκτή τιϲ ἔϲτι τοὐπέκεινα τῆϲδε γῆϲ
πρὸϲ πόντον ἤδη κειμένη Ϲαρωνικόν.
ἔνθεν τιϲ ἠχὼ χθόνιοϲ, ὡϲ βροντὴ Διόϲ,
βαρὺν βρόμον μεθῆκε, φρικώδη κλύειν·
ὀρθὸν δὲ κρᾶτ' ἔϲτηϲαν οὖϲ τ' ἐϲ οὐρανὸν
ἵπποι, παρ' ἡμῖν δ' ἦν φόβοϲ νεανικὸϲ
πόθεν ποτ' εἴη φθόγγοϲ. ἐϲ δ' ἁλιρρόθουϲ
ἀκτὰϲ ἀποβλέψαντεϲ ἱερὸν εἴδομεν
κῦμ' οὐρανῶι ϲτηρίζον, ὥϲτ' ἀφῃρέθη
Ϲκίρωνοϲ ἀκτὰϲ ὄμμα τοὐμὸν εἰϲορᾶν,
ἔκρυπτε δ' Ἰϲθμὸν καὶ πέτραν Ἀϲκληπιοῦ.
κἄπειτ' ἀνοιδῆϲάν τε καὶ πέριξ ἀφρὸν
πολὺν καχλάζον ποντίωι φυϲήματι
χωρεῖ πρὸϲ ἀκτὰϲ οὗ τέθριπποϲ ἦν ὄχοϲ.
αὐτῶι δὲ ϲὺν κλύδωνι καὶ τρικυμίαι
κῦμ' ἐξέθηκε ταῦρον, ἄγριον τέραϲ·
οὗ πᾶϲα μὲν χθὼν φθέγματοϲ πληρουμένη
φρικῶδεϲ ἀντεφθέγγετ', εἰϲορῶϲι δὲ
κρεῖϲϲον θέαμα δεργμάτων ἐφαίνετο.
εὐθὺϲ δὲ πώλοιϲ δεινὸϲ ἐμπίπτει φόβοϲ·
καὶ δεϲπότηϲ μὲν ἱππικοῖϲιν ἤθεϲιν
πολὺϲ ξυνοικῶν ἥρπαϲ' ἡνίαϲ χεροῖν,
ἕλκει δὲ κώπην ὥϲτε ναυβάτηϲ ἀνήρ,
ἱμᾶϲιν ἐϲ τοὔπιϲθεν ἀρτήϲαϲ δέμαϲ·
αἱ δ' ἐνδακοῦϲαι ϲτόμια πυριγενῆ γνάθοιϲ
βίαι φέρουϲιν, οὔτε ναυκλήρου χερὸϲ

codd.: $\Pi^{8}$(–1204); Ω = MBOA; V; Λ = DELP

1198 χῶρον ($\Pi^{8}$)BΛ et $V^{2}$: χῶραν M: χώραν OAV 1203 δὲ $\Pi^{8}$ΩV: τε Λ τ' VDEL: δ' ΩP: [$\Pi^{8}$] ἐϲ Ω: εἰϲ VΛ: [$\Pi^{8}$] 1208 ϲκίρωνοϲ O: ϲκείρωνοϲ fere ΩVΛ (ϲκείρρ- L, [M]; -ωναϲ D, -ωνοϲ δ' M) 1216 ἀντεφθέγγετ' AVΛ (ἀντιφθ- L): -φθέγξατ' MBO et Chr. Pat. 858 1218 ἐνπίτνει M (~ $M^{2}$) 1219 ἱππικοῖϲιν Valckenaer: -οῖϲ ἐν codd. 1223 γνάθοιϲ BVΛ: γναθμοῖϲ Ω





οὔθ' ἱπποδέϲμων οὔτε κολλητῶν ὄχων
μεταϲτρέφουϲαι. κεἰ μὲν ἐϲ τὰ μαλθακὰ
γαίαϲ ἔχων οἴακαϲ εὐθύνοι δρόμον,
προυφαίνετ' ἐϲ τὸ πρόϲθεν, ὥϲτ' ἀναϲτρέφειν,
ταῦροϲ, φόβωι τέτρωρον ἐκμαίνων ὄχον·
εἰ δ' ἐϲ πέτραϲ φέροιντο μαργῶϲαι φρέναϲ,
ϲιγῆι πελάζων ἄντυγι ξυνείπετο,
ἐϲ τοῦθ' ἕωϲ ἔϲφηλε κἀνεχαίτιϲεν
ἁψῖδα πέτρωι προϲβαλὼν ὀχήματοϲ.
ϲύμφυρτα δ' ἦν ἅπαντα· ϲύριγγέϲ τ' ἄνω
τροχῶν ἐπήδων ἀξόνων τ' ἐνήλατα,
αὐτὸϲ δ' ὁ τλήμων ἡνίαιϲιν ἐμπλακεὶϲ
δεϲμὸν δυϲεξέλικτον ἕλκεται δεθείϲ,
ϲποδούμενοϲ μὲν πρὸϲ πέτραιϲ φίλον κάρα
θραύων τε ϲάρκαϲ, δεινὰ δ' ἐξαυδῶν κλύειν·
Ϲτῆτ', ὦ φάτναιϲι ταῖϲ ἐμαῖϲ τεθραμμέναι,
μή μ' ἐξαλείψητ'. ὦ πατρὸϲ τάλαιν' ἀρά·
τίϲ ἄνδρ' ἄριϲτον βούλεται ϲῶϲαι παρών;
πολλοὶ δὲ βουληθέντεϲ ὑϲτέρωι ποδὶ
ἐλειπόμεϲθα. χὠ μὲν ἐκ δεϲμῶν λυθεὶϲ
τμητῶν ἱμάντων οὐ κάτοιδ' ὅτωι τρόπωι
πίπτει, βραχὺν δὴ βίοτον ἐμπνέων ἔτι·
ἵπποι δ' ἔκρυφθεν καὶ τὸ δύϲτηνον τέραϲ
ταύρου λεπαίαϲ οὐ κάτοιδ' ὅποι χθονόϲ.
δοῦλοϲ μὲν οὖν ἔγωγε ϲῶν δόμων, ἄναξ,

codd.: Ω = M(–1234)BOA; V; Λ = DELP

1226 ἐϲ BA: εἰϲ MOVΛ 1227 οἴακαϲ MOV: οἴηκαϲ BΛ εὐθύνοι] εὐθ- Ω: ἰθ- VΛ -νη ⟨L?⟩P (~ $L^{c}$) 1228 τὸ πρόϲθεν ΩV: τοὔμπροϲθεν BΛ (τ**π- L, τοὔμπ- $L^{c}$) 1230 πέτραϲ MBVΛ: -αν OA et $V^{3}$ 1232 κἀναχαίτιϲεν EL 1237 -έλικτον $A^{gl}V^{3}$: -ήνυτον fere codd. et Eust. in Il. p. 384. 5: -ήνυϲτον Heath 1238 πέτραιϲ Ω: -αϲ VΛ 1239 τε Elmsley: δὲ codd. ϲάρκα V (~ $V^{3}$) 1244 ἐκλειπ- E, ἐκλιπ- D, ἐλιπ-$V^{3}$ 1246 δὴ] δὲ L; om. BP (~ $B^{2}$) προϲπνέων DE 1247 τέραϲ OAV et $^{1}\Sigma^{nbv}$: κάρα BΛ 1248 ὅποι BO: ὅπῃ V: ὅπου ADEL et $^{1}\Sigma^{n}$: ὅπωϲ P

ἀτὰρ τοςοῦτόν γ' οὐ δυνήςομαί ποτε,
τὸν cὸν πιθέcθαι παῖδ' ὅπως ἐςτὶν κακός,
οὐδ' εἰ γυναικῶν πᾶν κρεμαcθείη γένος
καὶ τὴν ἐν Ἴδηι γραμμάτων πλήςειέ τις
πεύκην· ἐπεί νιν ἐcθλὸν ὄντ' ἐπίςταμαι.
Χο. αἰαῖ, κέκρανται cυμφορὰ νέων κακῶν,
οὐδ' ἔςτι μοίρας τοῦ χρεών τ' ἀπαλλαγή.
Θη. μίcει μὲν ἀνδρὸς τοῦ πεπονθότος τάδε
λόγοιςιν ἥcθην τοῖςδε· νῦν δ' αἰδούμενος
θεούς τ' ἐκεῖνόν θ', οὕνεκ' ἐςτὶν ἐξ ἐμοῦ,
οὔθ' ἥδομαι τοῖςδ' οὔτ' ἐπάχθομαι κακοῖς.
Αλ. πῶς οὖν; κομίζειν, ἢ τί χρὴ τὸν ἄθλιον
δράςαντας ἡμᾶς cῆι χαρίζεcθαι φρενί;
φρόντιζ'· ἐμοῖς δὲ χρώμενος βουλεύμαςιν
οὐκ ὠμὸς ἐς cὸν παῖδα δυςτυχοῦντ' ἔςηι.
Θη. κομίζετ' αὐτόν, ὡς ἰδὼν ἐν ὄμμαςιν
λόγοις τ' ἐλέγξω δαιμόνων τε cυμφοραῖς
τὸν τἄμ' ἀπαρνηθέντα μὴ χρᾶναι λέχη.

Χο. cὺ τὰν θεῶν ἄκαμπτον φρένα καὶ βροτῶν
ἄγεις, Κύπρι, cὺν δ' ὁ ποι-
κιλόπτερος ἀμφιβαλὼν
ὠκυτάτωι πτερῶι·
ποτᾶται δὲ γαῖαν εὐάχητόν θ'
ἁλμυρὸν ἐπὶ πόντον,
θέλγει δ' Ἔρως ὧι μαινομέναι κραδίαι

codd.: Ω = BOA; V; Λ = DELP

1250 γ' Ω: om. VΛ et Chr. Pat. 1290    1251 τὸν OELP et V$^c$: τὸ BAVD: utrumque codd. Chr. Pat. 1291    1254 νιν ΩV: μιν Λ et Chr. Pat. 325, 1294    1255 cυμφορὰ O, sicut coni. Elmsley: -ραὶ BAVΛ    1257 τάδε BVΛ et gV: τόδε OA et V$^3$    1259 τ' Λ: om. ΩV    1260 οὔτ' ἐπάχθομαι Ω et V$^3$ et $^1\Sigma^{nbv}$: οὔτ' ἀπέχθ- VΛ et ($^1\Sigma^n$): οὔτεπέχθ- gV    1267–6 hoc ordine OAV: inuerso BΛ    1267 τ' BΛ: om. OAV    1271 πτέρυγι L$_4$ (~ Tr)    1272 δὲ Seidler: δ' ἐπὶ ΩΛ: ἐπὶ V    1274 φλέγει V (~ V$^{3\gamma\rho}$ et gB)    κραδίαι Aldina: καρδία(ι) codd. et gB





πτανὸς ἐφορμάςηι χρυςοφαής,
φύςιν ὀρεςκόων cκύμνων πελαγίων θ'
ὅςα τε γᾶ τρέφει
τά τ' αἰθόμενος ἅλιος δέρκεται
ἄνδρας τε· cυμπάντων βαςιληίδα τι-
μάν, Κύπρι, τῶνδε μόνα κρατύνεις.

ΑΡΤΕΜΙC

cὲ τὸν εὐπατρίδην Αἰγέως κέλομαι
παῖδ' ἐπακοῦςαι·
Λητοῦς δὲ κόρη c' Ἄρτεμις αὐδῶ.
Θηςεῦ, τί τάλας τοῖςδε cυνήδηι,
παῖδ' οὐχ ὁςίως cὸν ἀποκτείνας
ψεύδεςι μύθοις ἀλόχου πειςθεὶς
ἀφανῆ; φανερὰν δ' ἔςχεθες ἄτην.
πῶς οὐχ ὑπὸ γῆς τάρταρα κρύπτεις
δέμας αἰςχυνθείς,
ἢ πτηνὸν ἄνω μεταβὰς βίοτον
πήματος ἔξω πόδα τοῦδ' ἀνέχεις;
ὡς ἔν γ' ἀγαθοῖς ἀνδράςιν οὔ ςοι
κτητὸν βιότου μέρος ἐςτίν.

codd.: Ω = BOA; V; Λ = H(1290–)DELP

1275 ἐφορμάςη(ι) BODL et (V$^3$) et gB, -ςει AP: ἐφαρμόςη E, -ςει V    χρυςοφαὴς ⟨cτίλβων⟩ Diggle    1277 ὀρεςκόων L: -κώ(ι)ων ΩVDEP    cκύμνων Wilamowitz: cκυλάκων codd.    πελαγίων VΛ: -γέων Ω    1279 τά τ' Wecklein: τὰν codd.    αἰθόμενος ἅλιος Wilamowitz: ἅλιος αἰθόμενος fere codd. (ἅλ- ΩLP, ἀέλ- VDE; -όμενος BVΛ, -ομέναν OA, -ομένην V$^3$)    1280 ἀνδρῶν B$^2$A$^2$V$^3$    cυμπάντων Dindorf: -ων δὲ VDEL: -ων τε Ω: -ων γε P    1283 εὐπατρίδην Barthold: -δαν ΩΛ et V$^3$: -δα V    κέλλομαι AVE$^?$ et B$^2$    1285 αὐδῶ OV: αὐδᾶ(ι) BALP: αὐδὰν D: [E]    1288 ἀλόχου πειςθεὶς Ω: π- ἀ- VΛ    1289 ἀφανῶς L$^s$    ἔςχεθες Markland: ἔςχες codd.    ἄτην VΛ: ἄταν Ω    1290 οὐχ BADLP et $^1\Sigma^{nb}$ et gV: δ' οὐχ O et $^1\Sigma^v$: δ' V: [HE]    1292 πτηνὸν Valckenaer: πτηνὸς ΩVLP et gV: πτανὸς Δ    1293 πόδα τοῦδ' O$^{c?}$, sicut coni. Wakefield: πόδα τόνδ' O$^?$AVΛ: πόδ' B    ἀνέχεις BVΛ et A$^{2\gamma\rho}$: ἀπέχεις OA et V$^{3\gamma\rho}$    1294 ἔν γ' Musgrave: ἔν τ' OA et V$^3$: ἐν BVΛ et gV    1295 βίου O et gV

ἄκουε, Θηςεῦ, cῶν κακῶν κατάςταςιν.
καίτοι προκόψω γ' οὐδέν, ἀλγυνῶ δέ ςε·
ἀλλ' ἐς τόδ' ἦλθον, παιδὸς ἐκδεῖξαι φρένα
τοῦ ςοῦ δικαίαν, ὡς ὑπ' εὐκλείας θάνηι,
καὶ cῆς γυναικὸς οἶςτρον ἢ τρόπον τινὰ
γενναιότητα. τῆς γὰρ ἐχθίςτης θεῶν
ἡμῖν ὅςαιςι παρθένειος ἡδονὴ
δηχθεῖςα κέντροις παιδὸς ἠράςθη ςέθεν·
γνώμηι δὲ νικᾶν τὴν Κύπριν πειρωμένη
τροφοῦ διώλετ' οὐχ ἑκοῦςα μηχαναῖς,
ἣ ςῶι δι' ὅρκων παιδὶ ςημαίνει νόςον.
ὁ δ', ὥςπερ οὖν δίκαιον, οὐκ ἐφέςπετο
λόγοιςιν, οὐδ' αὖ πρὸς ςέθεν κακούμενος
ὅρκων ἀφεῖλε πίςτιν, εὐςεβὴς γεγώς·
ἡ δ' εἰς ἔλεγχον μὴ πέςηι φοβουμένη
ψευδεῖς γραφὰς ἔγραψε καὶ διώλεςεν
δόλοιςι ςὸν παῖδ', ἀλλ' ὅμως ἔπειςέ ςε.

Θη. οἴμοι.

Αρ. δάκνει ςε, Θηςεῦ, μῦθος; ἀλλ' ἔχ' ἥςυχος,
τοὐνθένδ' ἀκούςας ὡς ἂν οἰμώξηις πλέον.
ἆρ' οἶςθα πατρὸς τρεῖς ἀρὰς ἔχων ςαφεῖς;
ὧν τὴν μίαν παρεῖλες, ὦ κάκιςτε ςύ,
ἐς παῖδα τὸν ςόν, ἐξὸν εἰς ἐχθρῶν τινα.
πατὴρ μὲν οὖν ςοι πόντιος φρονῶν καλῶς
ἔδωχ' ὅςονπερ χρῆν, ἐπείπερ ἤινεςεν·
ςὺ δ' ἔν τ' ἐκείνωι κἀν ἐμοὶ φαίνηι κακός,

codd.: Ω = BOA; V; Λ = HDELP

1297 γ'] δ' H    1299 θάνοι LP et H$^{s\,uv}$    1300 οἶςτρον] ψεῦςτιν $^{γρ}Σ^{b}$    1302 παρθένειος ΩH et V$^{2}$L$^{c}$ (fort. etiam L) et Eust. in Il. p. 502. 32: -νιος VDEL$^{?}$P    1303 δηχθεῖςα ΩP (-ςαν A) et D$^{2}$L$^{c}$: δειχθ- L$^{uv}$: διχθ- VDE$^{uv}$ et A$^{s}$: aut δηχθ- aut διχθ- H    1307 οὖν δίκαιον LP: ὢν δίκαιος ΩVΔ    ἐφέςπετο BOVHD: ἐφείπ- A: ἐφείςπ- E: ἐπέςπ- LP    1311 ἔταξε A    1314 οἰμώξη(ι)ς ΩVHE et Tr et (-ζης) Σ$^{v}$: -ξη(ι) P et Σ$^{b}$ et (-ζη) Σ$^{n}$: -ξεις DL$^{?}$    1315 ἔχων ςαφεῖς AH: ς- ἔ- BOVDELP    1317 ἐχθρῶν V$^{3}$, sicut coni. Elmsley: -ρόν codd.    1319 χρῆν fere Λ: ἐχρῆν ΩV





ὃς οὔτε πίςτιν οὔτε μάντεων ὄπα
ἔμεινας, οὐκ ἤλεγξας, οὐ χρόνωι μακρῶι
ςκέψιν παρέςχες, ἀλλὰ θᾶςςον ἤ ς' ἐχρῆν
ἀρὰς ἐφῆκας παιδὶ καὶ κατέκτανες.

Θη. δέςποιν', ὀλοίμην. Αρ. δείν' ἔπραξας, ἀλλ' ὅμως
ἔτ' ἔςτι καί ςοι τῶνδε ςυγγνώμης τυχεῖν·
Κύπρις γὰρ ἤθελ' ὥςτε γίγνεςθαι τάδε,
πληροῦςα θυμόν. θεοῖςι δ' ὧδ' ἔχει νόμος·
οὐδεὶς ἀπαντᾶν βούλεται προθυμίαι
τῆι τοῦ θέλοντος, ἀλλ' ἀφιςτάμεςθ' ἀεί.
ἐπεί, ςάφ' ἴςθι, Ζῆνα μὴ φοβουμένη
οὐκ ἄν ποτ' ἦλθον ἐς τόδ' αἰςχύνης ἐγὼ
ὥςτ' ἄνδρα πάντων φίλτατον βροτῶν ἐμοὶ
θανεῖν ἐᾶςαι. τὴν δὲ ςὴν ἁμαρτίαν
τὸ μὴ εἰδέναι μὲν πρῶτον ἐκλύει κάκης·
ἔπειτα δ' ἡ θανοῦς' ἀνήλωςεν γυνὴ
λόγων ἐλέγχους, ὥςτε ςὴν πεῖςαι φρένα.
μάλιςτα μέν νυν ςοὶ τάδ' ἔρρωγεν κακά,
λύπη δὲ κἀμοί· τοὺς γὰρ εὐςεβεῖς θεοὶ
θνήιςκοντας οὐ χαίρουςι· τούς γε μὴν κακοὺς
αὐτοῖς τέκνοιςι καὶ δόμοις ἐξόλλυμεν.

Χο. καὶ μὴν ὁ τάλας ὅδε δὴ ςτείχει,
ςάρκας νεαρὰς ξανθόν τε κάρα

codd.: Ω = BOA; V; Λ = H(–1336)DELP

1322 οὐκ OAV: οὐδ' BΛ    μακρῶ(ι) ΩVLP (ante χρόνωι OV) et Eust. in Il. p. 488. 16: μακρὰν Δ    1323 παρέςχες ΩV: ἔνειμας DLP (γ' ante ἔν- in ras. P, et L$^{c}$ pot. qu. L) et Eust.: ἔμεινας HE    ςε χρῆν L    1324 ἐφῆκας Δ: ἀφ- ΩVLP    1325 ὀλοίμαν OP    1326 ἔτ' ἔςτι] ἔνεςτι A (~ Chr. Pat. 816)    ςυγγνώμην ἔχειν O (~ Chr. Pat.)    1327 τάδε ΔP et L$^{c}$: τόδε ΩV⟨L⟩    1331 οἶςθα L    1333 βροτῶν ἐμοὶ ΩVH$^{uv}$: ἐ- β- DELP    1336 ἀνήλωςεν Elmsley: ἀνάλωςε(ν) ΩVΛ et D$^{γρ}$: ἀπώλεςεν D    1337 λόγοις L    ἐλέγχους BVP: -ους' OAΔL et B$^{3}$    1338 μὲν νῦν ςοὶ ΩDE: μέν ςοι νῦν V: νῦν δή ςοι L: νῦν ςοι P    1340 γε μὴν BAΛ: δὲ μὴν O et gV: δέ γε V (μὴν V$^{3s}$)

διαλυμανθείϲ. ὦ πόνοϲ οἴκων,
οἷον ἐκράνθη δίδυμον μελάθροιϲ
πένθοϲ θεόθεν καταληπτόν.

Ἱπ. αἰαῖ αἰαῖ·
δύϲτηνοϲ ἐγώ, πατρὸϲ ἐξ ἀδίκου
χρηϲμοῖϲ ἀδίκοιϲ διελυμάνθην.
ἀπόλωλα τάλαϲ, οἴμοι μοι.
διά μου κεφαλῆϲ ἄιϲϲουϲ' ὀδύναι
κατά τ' ἐγκέφαλον πηδᾶι ϲφάκελοϲ·
ϲχέϲ, ἀπειρηκὸϲ ϲῶμ' ἀναπαύϲω.
ἓ ἕ·
ὦ ϲτυγνὸν ὄχημ' ἵππειον, ἐμῆϲ
βόϲκημα χερόϲ,
διά μ' ἔφθειραϲ, κατὰ δ' ἔκτειναϲ.
φεῦ φεῦ· πρὸϲ θεῶν, ἀτρέμα, δμῶεϲ,
χροὸϲ ἑλκώδουϲ ἅπτεϲθε χεροῖν.
τίϲ ἐφέϲτηκεν δεξιὰ πλευροῖϲ;
πρόϲφορά μ' αἴρετε, ϲύντονα δ' ἕλκετε
τὸν κακοδαίμονα καὶ κατάρατον
πατρὸϲ ἀμπλακίαιϲ. Ζεῦ Ζεῦ, τάδ' ὁρᾶιϲ;
ὅδ' ὁ ϲεμνὸϲ ἐγὼ καὶ θεοϲέπτωρ,
ὅδ' ὁ ϲωφροϲύνηι πάνταϲ ὑπερϲχών,
προῦπτον ἐϲ Ἅιδην ϲτείχω, κατ' ἄκραϲ
ὀλέϲαϲ βίοτον, μόχθουϲ δ' ἄλλωϲ

codd.: Ω = BOA; V; Λ = C(1365–)DELP

1350 οἴμοι μοι] οἴμοι οἴμοι AL  1351 κεφαλῆϲ Ω: -λὰϲ VΔL: -λᾶϲ P et D$^2$Tr et gB  1352 τ' ELP et gB: δ' ΩVD  1353 χθὲϲ E; ϲχθὲϲ P  1354 ἓ ἕ VDEL: ἔ ἔ BP et Tr: om. OA (et ἔ ἔ primitus del. Tr)  1356 βόϲκημα χερόϲ VDE et Tr: β- χειρόϲ Ω: om. LP  1357 δ' Ω: τ' VΛ  1358 ἀτρέμα δμῶεϲ Ω et Tr (-μαϲ O et Tr): δ- ἀτρέμαϲ VΛ (-μα V$^{3γρ}$D$^2$)  1359 ἅπτεϲθαι AD et E$^{c?}$  1360 ἐφέϲτηκεν δεξιὰ fere BOVΛ (-κε VEL, ~ Tr; -ιᾶ(ι) BOEP): ἐφέϲτηκ' ἐνδέξια A et V$^3$ et $^{γρ}$Σ$^{nb}$  1362 καὶ] τὸν V (~ V$^{3γρ}$)  1363 ἀμπλακία(ι) E⟨L⟩P (~ Tr)  1365 ὑπερϲχών Valckenaer: ὑπερεχών V: ὑπερέχων ΩΛ et V$^c$  1366 ἐϲ B$^2$Tr: εἰϲ codd.  ἅδην VΛ: ἀΐδαν Ω: ἀΐδην Tr  κατ' ἄκραϲ VΛ et B$^{γρ}$: κατὰ γᾶϲ Ω et V$^{γρ}$ et (γᾶν) Tr





τῆϲ εὐϲεβίαϲ
εἰϲ ἀνθρώπουϲ ἐπόνηϲα.

αἰαῖ αἰαῖ·
καὶ νῦν ὀδύνα μ' ὀδύνα βαίνει·
μέθετέ με τάλανα,
καί μοι θάνατοϲ παιὰν ἔλθοι.
†προϲαπόλλυτέ μ' ὄλλυτε τὸν δυϲδαί-
μονα·† ἀμφιτόμου λόγχαϲ ἔραμαι,
διαμοιρᾶϲαι κατά τ' εὐνᾶϲαι
τὸν ἐμὸν βίοτον.
ὦ πατρὸϲ ἐμοῦ δύϲτανοϲ ἀρά·
μιαιφόνον τι ϲύγγονον
παλαιῶν προγεννη-
τόρων ἐξορίζεται
κακὸν οὐδὲ μένει,
ἔμολέ τ' ἐπ' ἐμέ—τί ποτε, τὸν οὐ-
δὲν ὄντ' ἐπαίτιον κακῶν;
ἰώ μοί μοι.
τί φῶ; πῶϲ ἀπαλλά-
ξω βιοτὰν ἐμὰν
τοῦδ' ἀνάλγητον πάθουϲ;

codd.: Ω = BOA; V; Λ = CDELP

1368 εὐϲεβίαϲ Tr: -βείαϲ codd. et gE  1370 αἶ αἶ αἶ αἶ fere BOΛ: αἶ αἶ αἶ AE: αἲ αἲ V  1372 με om. LP (με τὸν add. Tr, sed με postmodo del.)  τάλανα OADEL et P$^c$: τάλαν B: τάλαινα VCP$^{uv}$  1374 προϲαπόλλυτ' ἀπόλλυτε Wilamowitz  1374–5 δυϲδαίμονα A: δυϲδαίμον' BOVΛ: δυϲδαίμονά μ' cum Markland Wilamowitz, δυϲδαίμον', ⟨ὅϲ⟩ Page, -μον'· ⟨ὑπ'⟩ Willink (CQ n.s. 18 [1968] 43) et 1376 διαμοιρᾶϲθαι (Valckenaer)  1375 ἀμφιϲτόμου V$^3$; διϲτόμου B$^{γρ}$D$^{γρ}$  1376 κατά Herwerden: διά codd.  εὐνᾶϲαι fere AVΛ: εὐνῆϲαι BO  1378 δύϲτανοϲ ΩV: -την- Λ  1379 μιαιφόνον BO: -φόνων AVΛ et B$^2$  τι Weil: τε codd.  ϲύγγονον B et V$^3$: ϲυγγόνων OAVΛ et B$^2$  1381 ἐξορίζετε CE  μένει Wilamowitz: μέλλει codd. (μέλι C)  1382 ἔμολέ τ' BP: ἐμόλετ' ΔL: ἔμολ' AV: ἔμολ' ἔμολ' O  1384 ἰώ μοι μοι ΩELP: ἰώ μοι VCD  1385 πῶϲ ΩVE: πῶϲ δ' Λ  ἐμὰν ΩVDP: om. CEL  1386 ἀνάλγητον Weil: ἀναλγήτου codd.

εἴθε με κοιμάϲειε τὸν
δυϲδαίμον' Ἅιδα μέλαι-
να νύκτερόϲ τ' ἀνάγκα.

*Ἀρ.* ὦ τλῆμον, οἵαι ϲυμφορᾶι ϲυνεζύγηϲ·
τὸ δ' εὐγενέϲ ϲε τῶν φρενῶν ἀπώλεϲεν.
*Ἱπ.* ἔα·
ὦ θεῖον ὀϲμῆϲ πνεῦμα· καὶ γὰρ ἐν κακοῖϲ
ὢν ᾐϲθόμην ϲου κἀνεκουφίϲθην δέμαϲ.
ἔϲτ' ἐν τόποιϲι τοιϲίδ' Ἄρτεμιϲ θεά.
*Ἀρ.* ὦ τλῆμον, ἔϲτι, ϲοί γε φιλτάτη θεῶν.
*Ἱπ.* ὁρᾶιϲ με, δέϲποιν', ὡϲ ἔχω, τὸν ἄθλιον;
*Ἀρ.* ὁρῶ· κατ' ὄϲϲων δ' οὐ θέμιϲ βαλεῖν δάκρυ.
*Ἱπ.* οὐκ ἔϲτι ϲοι κυναγὸϲ οὐδ' ὑπηρέτηϲ.
*Ἀρ.* οὐ δῆτ'· ἀτάρ μοι προϲφιλήϲ γ' ἀπόλλυϲαι.
*Ἱπ.* οὐδ' ἱππονώμαϲ οὐδ' ἀγαλμάτων φύλαξ.
*Ἀρ.* Κύπριϲ γὰρ ἡ πανοῦργοϲ ὧδ' ἐμήϲατο.
*Ἱπ.* οἴμοι, φρονῶ δὴ δαίμον' ἥ μ' ἀπώλεϲεν.
*Ἀρ.* τιμῆϲ ἐμέμφθη, ϲωφρονοῦντι δ' ἤχθετο.
*Ἱπ.* τρεῖϲ ὄνταϲ ἡμᾶϲ ὤλεϲ', ᾔϲθημαι, μία.
*Ἀρ.* πατέρα γε καὶ ϲὲ καὶ τρίτην ξυνάορον.
*Ἱπ.* ᾤιμωξα τοίνυν καὶ πατρὸϲ δυϲπραξίαϲ.

codd.: Ω = BOA; V; Λ = CDELP

1387 μοι VC (~ gB) κοιμάϲειε Λ et $V^3$ et gB: -μήϲ- BO: -μίϲ- AV 1388 Ἅιδα Diggle: -δ* L: -δου ΩVΔP et Tr et gB ᾅδου τε νυκτὸϲ δυϲτάλαιν' ἀνάγκα A (~ gB) 1389 οἵα(ι) ϲυμφορᾶ(ι) Λ et gBgE et Chr. Pat. 803: οἵαιϲ ϲυμφοραῖϲ ΩV et gV ϲυνεζύγηϲ ΩVL et gV (-ειϲ) et Chr. Pat.: προϲεζ- fere ΔP et gBgE 1390 ἀπώλεϲεν ΩV et gV: διώλ- Λ 1391 ὀϲμῆϲ Barrett: ὀδμῆϲ codd. et Chr. Pat. 1326 1393 τόποιϲι OAV: δόμοιϲι BΛ τοῖϲιδ' OAV: τοῖϲιν B: τοῖϲδέ γ' L: τοῖϲδ' EP et $C^2$: τίϲ δ' $C^?$: τὶϲ D 1398 μοι προϲφιλήϲ γ' ΩV: τοι δύϲποτμόϲ τ' LP: τοι δύϲποτμοϲ CD: μοι δύϲποτμοϲ E 1399 ἱππονώμαϲ ΩDL et $V^3$: -νόμαϲ VCEP 1401 οἴμοι OA: ὤμοι BVΛ (ὤιμ- B) δὲ V (~ $V^3$) 1402 ἐμέμφθη OALP et $V^c$ et $^1\Sigma^v$: -φθηϲ BVΔ et $^1\Sigma^n$: utrumque $\Sigma^{nbv}$ 1403 ὤλεϲ', ᾔϲθημαι, μία Valckenaer: ὤλεϲ' ἥ(ι)ϲθημαι κύπριϲ ΩΔ(P) et $V^{3\gamma\rho}$: ὤλεϲ' ἴϲημι κύπριϲ V: ὤλεϲεν μία κύπριϲ L 1404 γε Kirchhoff: τε OAVΛ: om. B 1405 ὤ(ι)μοξα (A)EP (-οξε A, -ωξα $A^c$) et $V^3$





*Ἀρ.* ἐξηπατήθη δαίμονοϲ βουλεύμαϲιν.
*Ἱπ.* ὦ δυϲτάλαϲ ϲὺ τῆϲδε ϲυμφορᾶϲ, πάτερ.
*Θη.* ὄλωλα, τέκνον, οὐδέ μοι χάριϲ βίου.
*Ἱπ.* ϲτένω ϲε μᾶλλον ἢ 'μὲ τῆϲ ἁμαρτίαϲ.
*Θη.* εἰ γὰρ γενοίμην, τέκνον, ἀντὶ ϲοῦ νεκρόϲ.
*Ἱπ.* ὦ δῶρα πατρὸϲ ϲοῦ Ποϲειδῶνοϲ πικρά.
*Θη.* ὡϲ μήποτ' ἐλθεῖν ὤφελ' ἐϲ τοὐμὸν ϲτόμα.
*Ἱπ.* τί δ'; ἔκτανέϲ τἄν μ', ὡϲ τότ' ἦϲθ' ὠργιϲμένοϲ.
*Θη.* δόξηϲ γὰρ ἦμεν πρὸϲ θεῶν ἐϲφαλμένοι.
*Ἱπ.* φεῦ·
εἴθ' ἦν ἀραῖον δαίμοϲιν βροτῶν γένοϲ.
*Ἀρ.* ἔαϲον· οὐ γὰρ οὐδὲ γῆϲ ὑπὸ ζόφον
θεᾶϲ ἄτιμοι Κύπριδοϲ ἐκ προθυμίαϲ
ὀργαὶ καταϲκήψουϲιν ἐϲ τὸ ϲὸν δέμαϲ,
ϲῆϲ εὐϲεβείαϲ κἀγαθῆϲ φρενὸϲ χάριν·
ἐγὼ γὰρ αὐτῆϲ ἄλλον ἐξ ἐμῆϲ χερὸϲ
ὃϲ ἂν μάλιϲτα φίλτατοϲ κυρῆι βροτῶν
τόξοιϲ ἀφύκτοιϲ τοῖϲδε τιμωρήϲομαι.
ϲοὶ δ', ὦ ταλαίπωρ', ἀντὶ τῶνδε τῶν κακῶν
τιμὰϲ μεγίϲταϲ ἐν πόλει Τροζηνίαι
δώϲω· κόραι γὰρ ἄζυγεϲ γάμων πάροϲ
κόμαϲ κεροῦνταί ϲοι, δι' αἰῶνοϲ μακροῦ
πένθη μέγιϲτα δακρύων καρπουμένωι·
ἀεὶ δὲ μουϲοποιὸϲ ἐϲ ϲὲ παρθένων
ἔϲται μέριμνα, κοὐκ ἀνώνυμοϲ πεϲὼν
ἔρωϲ ὁ Φαίδραϲ ἐϲ ϲὲ ϲιγηθήϲεται.
ϲὺ δ', ὦ γεραιοῦ τέκνον Αἰγέωϲ, λαβὲ

codd.: Ω = BOA; V; Λ = CDELP

1406 βουλήμαϲιν CD 1410 γενοίμαν OP 1413 μ' BΛ et $V^3D^2$: om. OAVD 1415 φεῦ om. OA (~ $A^2$) 1416 οὐ BAP et Tr: οὐδὲ OVΔL ζόφον OVΛ et Chr. Pat. 1920: ζόφω(ι) BA et $V^3$ 1418 καταϲκήψουϲιν ΩV (fut. etiam Chr. Pat. 1921): -ϲκήπτ- fere Λ 1421 κυρεῖ E ⟨P⟩(~ $P^c$) 1422 τόξοιϲ ΩVP: -οιϲιν ΔL 1423 ϲοὶ BAVDP: ϲὺ OCEL 1427 καρπουμένωι Valckenaer: -ούμεναι ΩΛ: -ουμένα V

cὸν παῖδ' ἐν ἀγκάλαιcι καὶ προcέλκυcαι·
ἄκων γὰρ ὤλεcάc νιν, ἀνθρώποιcι δὲ
θεῶν διδόντων εἰκὸc ἐξαμαρτάνειν.
καὶ cοὶ παραινῶ πατέρα μὴ cτυγεῖν cέθεν,
Ἱππόλυτ'· ἔχειc γὰρ μοῖραν ἧι διεφθάρηc.
καὶ χαῖρ'· ἐμοὶ γὰρ οὐ θέμιc φθιτοὺc ὁρᾶν
οὐδ' ὄμμα χραίνειν θαναcίμοιcιν ἐκπνοαῖc·
ὁρῶ δέ c' ἤδη τοῦδε πληcίον κακοῦ.

Ιπ. χαίρουcα καὶ cὺ cτεῖχε, παρθέν' ὀλβία·
μακρὰν δὲ λείπειc ῥαιδίωc ὁμιλίαν.
λύω δὲ νεῖκοc πατρὶ χρηιζούcηc cέθεν·
καὶ γὰρ πάροιθε cοῖc ἐπειθόμην λόγοιc.
αἰαῖ, κατ' ὄccων κιγχάνει μ' ἤδη cκότοc·
λαβοῦ πάτερ μου καὶ κατόρθωcον δέμαc.

Θη. οἴμοι, τέκνον, τί δρᾶιc με τὸν δυcδαίμονα;
Ιπ. ὄλωλα καὶ δὴ νερτέρων ὁρῶ πύλαc.
Θη. ἦ τὴν ἐμὴν ἄναγνον ἐκλιπὼν χέρα;
Ιπ. οὐ δῆτ', ἐπεί cε τοῦδ' ἐλευθερῶ φόνου.
Θη. τί φήιc; ἀφίηc αἵματόc μ' ἐλεύθερον;
Ιπ. τὴν τοξόδαμνον Ἄρτεμιν μαρτύρομαι.
Θη. ὦ φίλταθ', ὡc γενναῖοc ἐκφαίνηι πατρί.
Ιπ. ὦ χαῖρε καὶ cύ, χαῖρε πολλά μοι, πάτερ.
Θη. οἴμοι φρενὸc cῆc εὐcεβοῦc τε κἀγαθῆc.
Ιπ. τοιῶνδε παίδων γνηcίων εὔχου τυχεῖν.

codd.: Ω = BOA; V; Λ = CDELP

1432 ἀγκάλαιcι OAVL et B$^{s}$: -λη(ι)cι ΔP et L$^{s}$: -λεcι B   προcέλκυcον C$^{?}$L (~ C$^{2}$ et Chr. Pat. 1302)   1437 φθιτοὺc Λ: νεκροὺc ΩV (cf. Suda iv. 722. 24 Adler)   1438 χαίρειν VE (~ V$^{3}$ et Sud.)   1442 λύcω A (~ Chr. Pat. 821)   πατρὶ Ω et V$^{3}$: πατρὸc VΛ et B$^{3}$   1443 πάροιθεν L   1444 κιγχάνει Va et Chr. Pat. 900 cod. A: κιχάνει BAVΛ et gB et Chr. Pat. codd. cett.: με τυγχάνει O   1446 οἴμοι ΩC: ὤμοι VΛ   1448 χέρα BOV et A$^{2γρ}$D$^{γρ}$: φρένα AΛ et B$^{γρ}$: φέραν V$^{3}$   1450 ἀφίηc Λ: ἀφήcειc ΩV   1453 et 1455 inter se trai. Wilamowitz: uide Segal, GRBS 11 (1970) 101–7   1454 οἴμοι ΩV: ὤμοι Λ et Chr. Pat. 802, 829





Θη. μή νυν προδῶιc με, τέκνον, ἀλλὰ καρτέρει.
Ιπ. κεκαρτέρηται τἄμ'· ὄλωλα γάρ, πάτερ.
κρύψον δέ μου πρόcωπον ὡc τάχοc πέπλοιc.
Θη. ὦ κλείν' Ἀφαίαc Παλλάδοc θ' ὁρίcματα,
οἵου cτερήcεcθ' ἀνδρόc. ὦ τλήμων ἐγώ,
ὡc πολλά, Κύπρι, cῶν κακῶν μεμνήcομαι.

Χο. κοινὸν τόδ' ἄχοc πᾶcι πολίταιc
ἦλθεν ἀέλπτωc.
πολλῶν δακρύων ἔcται πίτυλοc·
τῶν γὰρ μεγάλων ἀξιοπενθεῖc
φῆμαι μᾶλλον κατέχουcιν.

codd.: Ω = BOA; V; Λ = CDELP

1459 Ἀφαίαc Fitton: ἀθῆναι BAV: ἀθηνῶν OΛ et V$^{s}$: uide 1123   1460 τλήμων BOLP: τλῆμον AVΔ et B$^{2}$   1462–6 suspectos habuit Barrett   1464 δακρύων OAVΔ et Tr et gVgB: δ- δ' B: om. LP   post 1466 habet A (quae postmodo deleta sunt) ὦ μέγα cεμνὴ νίκη, τὸν ἐμὸν / βίοτον κατέχοιc / καὶ μὴ λήγοιc cτεφανοῦcα (= IT 1497–9, Ph. 1764–6, Or. 1691–3); item V$^{3}$ (τινὲc καὶ τούτουc τῶι τέλει προcάπτουcι· ὦ μέγα… cτεφανοῦcα)   Subscriptio ἱππόλυτοc cτεφανηφό(ροc) B: τέλοc ἱππολύτ(ου) cτεφανηφό(ρου) O: τέλοc ἱππολύτου AV: τέλοc εὐριππίδου ἱππολύτου C: τέλοc· εὐρ- ἱππόλυτοc cτεφανηφόροc D: τέλοc εὐρ- ἱππολύτηc cτεφανηφόροc E: εὐρ- ἱππόλυτοc cτεφανηφόροc LP